




SCRIPTORES GRÆCI:

SIVE

SELECTÆ

EX

SCRIPTORIBUS GRÆCIS; *viz.*

HERODOTO,
THUCYDIDE,
XENOPHONTE,




PLATONE,
ISOCRATE,
LUCIANO.

CUM VERSIONE LATINA.

IN USUM REGIÆ SCHOLÆ ETONENSIS.


EDITIO ALTERA RECOGNITA.



ETONÆ:

Ex Officinâ M. POTE et E. WILLIAMS: *Londini* etiam veneunt No. 10, Red Lion Court, Fleet Street.

1810.



HERODOTUS, *Halicarnassensis, Historicorum Græcorum, qui extant, antiquissimus, floruit Olymp.* 84. *Ante Chr. ann.* 440.

THUCYDIDES, *Atheniensis; Historiam belli Peloponnesiaci, cui ipse interfuit, conscripsit, ante Chr. ann.* 430.

" *Historiam multi scripsere præclarè; sed nemo dubitat duos longè cæteris præferendos, quorum diversa virtus laudem penè est parem consecuta. Densus, et brevis, et semper instans sibi* Thucydides: *dulcis, et candidus, et fusus* Herodotus: *ille concitatis, hic remissis affectibus melior; ille concionibus, hic sermonibus; ille vi, hic voluptate.*" Quinct. x. 1.

XENOPHON, *Atheniensis, Historicus et Philosophus: ante Chr. ann.* 390.

" *Quid ego commemorem* Xenophontis *jucunditatem illam inaffectatam, sed quam nulla possit affectatio consequi; ut ipsæ finxisse sermonem Gratiæ videantur?*" Quinct. x. 1.

PLATO, *Philosophus celeberrimus, Socratis auditor, Sectæ Academicæ princeps, eodem fere, quo* Xenophon, *tempore floruit.*

" *Philosophorum, ex quibus plurimum se traxisse eloquentiæ M. Tullius confitetur, quis dubitat* Platonem *esse præcipuum, sive acumine disserendi, sive eloquendi facultate divinâ quâdam et Homericâ?*" Quinct. x. 1.


" *Quis uberior in dicendo* Platone? *Jovem siquidem, aiunt Philosophi, si Græcè loquatur, sic loqui.*" Cic. *in* Brut.

ISOCRATES, *Atheniensis Rhetor, floruit eodem fere, quo* Xenophon *et* Plato, *tempore.*

" Isocrates *(cujus domus cunctæ Græciæ quasi ludus quidam patuit atque officina dicendi) magnus Orator,*

Orator, et perfectus Magister; quanquam forensi luce caruit, intraque parietes aluit eam gloriam, quam nemo quidem, meo judicio, est postea consecutus; et cùm cætera melius, quàm superiores, tum primus intellexit, etiam in solutâ oratione, dum versum effugeres, modum tamen et numerum quendam oportere servari." Cic. *in* Brut.

LUCIANUS, *oriundus Samosatâ, urbe Syriæ, sub Marco Antonino floruit, ann. Dom.* 164. *Scriptor variis in argumentis elegantissimus et festivissimus.*



SELECTA

EX

SCRIPTORIBUS GRÆCIS.

PARS I.

Ex HERODOTO.

ἌΤΥΣ καὶ ἌΔΡΗΣΤΟΣ.

Ἐκ τῆς ἩΡΟΔΟ'ΤΟΥ ΚΛΕΙΟΥ'Σ.

ΜΕΤΑ' Σόλωνα οἰχόμενον, ἔλαβε ἐκ θεῶν νέμεσις μεγάλη Κροῖσον, (ὡς εἰκάσαι) ὅτι ἐνόμισε ἑωϋτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. Αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθείην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες· τῶν οὕτερος μὲν διέφθαρτο· (ἦν γὰρ δὴ κωφός) ὁ δὲ ἕτερος, τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος. οὔνομα δέ οἱ ἦν Ἄτυς. τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κρονίσῳ ὁ ὄνειρος ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. ὁ δ' ἐπεί τε ἐξηγέρθη, καὶ ἑωϋτῷ λόγων ἔδωκε, καταρρωδήσας τὸν

 ὄνειρον,

ὄνειρον, ἄγεται μὲν τῷ παιδὶ γυναῖκα· ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν, οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτον πρῆγμα ἐξέπεμπε. ἀκόντια δὲ καὶ δοράτια, καὶ τὰ τοιαῦτα πάντα τοῖσι χρέονται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τοὺς θαλάμους συνένησε, μή τι οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ.

2. Ἔχοντος δέ οἱ ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος, καὶ οὐ καθαρὸς χεῖρας ἐών, Φρὺξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληΐου. παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία, κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο κυρῆσαι. Κροῖσος δέ μιν ἐκάθηρε. ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. ἐπεί τε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη. λέγων τάδε, "Ὤνθρωπε, τίς τε ἐὼν, καὶ κό-"θεν τῆς Φρυγίης ἥκων, ἐπίστιος ἐμοὶ ἐγένεο; τίνα τοῦ "ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;" ὁ δὲ ἀμείβετο, "Ὦ "βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεω, εἰμὶ παῖς, ὀνομά-"ζομαι δὲ Ἄδρηστος. φονεύσας δὲ ἀδελφεὸν ἐμεωϋτοῦ "ἀέκων πάρειμι, ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς, "καὶ ἐστερημένος πάντων." Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε, "Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐὼν, "καὶ ἐλήλυθας ἐς φίλους· ἔνθα ἀμηχανήσεις χρήμα-"τος οὐδενὸς, μένων ἐν ἡμετέροις. συμφορὴν δὲ ταύτην "ὡς κουφότατα φέρων, κερδανέεις πλεῖστον." ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσου.

3. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τέτῳ, ἐν τῷ Μυσίῳ Οὐλύμπῳ, συὸς χρῆμα γίνεται μέγα· ὁρμεώμενος δὲ ἔτος ἐκ τῦ ὄρεος τέτε, τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε. πολλάκι δὲ οἱ Μυσοὶ ἐπ᾽ αὐτὸν ἐξελθόντες, ποιέεσκον μὲν ἔδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτῦ. τέλος δὲ, ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον τάδε, "Ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον "ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει. "τῦτον προθυμεόμενοι ἑλέειν ἐ δυνάμεθα. νῦν ὦν "προσδεόμεθα σεῦ, τὸν παῖδα καὶ λογάδας νεηνίας "καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν ἐκ "τῆς χώρης." Οἱ μὲν δὴ τέτων ἐδέοντο. Κροῖσος δὲ μνημονεύων τῦ ὀνείρε τὰ ἔπεα, ἔλεγέ σφι τάδε, "Παι-"δὸς μὲν περὶ τῦ ἐμῦ μὴ μνησθῆτε ἔτι· ἐ γὰρ "ἂν ὑμῖν συμπέμψαιμι· νεόγαμός τε γάρ ἐστι καὶ "ταῦτα οἱ νῦν μέλει. Λυδῶν μέντοι λογάδας καὶ "τὸ κυνηγέσιον πᾶν συμπέμψω· καὶ διακελεύσομαι "τοῖσιν ἰῦσι, εἶναι ὡς προθυμότατοισι συνεξελεῖν ὑμῖν "τὸ θηρίον ἐκ τῆς χώρης." Ταῦτα ἀμείψατο.

4. Ἀποχρεωμένων δὲ τέτοισι τῶν Μυσῶν, ἐπεισέρχεται ὁ τῦ Κροίσε παῖς, ἀκηκοὼς τῶν ἐδέοντο οἱ Μυσοί· ἐ φαμένε δὲ τῦ Κροίσε τόν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε, "Ὦ "πάτερ, τὰ κάλλιστα πρότερόν κοτε καὶ γενναιό-"τατα ἡμῖν ἦν, ἔς τε πολέμες καὶ ἐς ἄγρας φοιτέον-

" τας εὐδοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀπο-
" κληίσας ἔχεις, οὔτε τινα δειλίην μοι παριδὼν, οὔτε
" ἀθυμίην. νῦν τε τεοῖσί με χρὴ ὄμμασιν ἔς τε ἀγο-
" ρὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι; κοῖος μέν
" τις τοῖσι πολιήτῃσι δόξω εἶναι; κοῖος δέ τις τῇ
" νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνη δόξει ἀνδρὶ συνοι-
" κέειν; ἐμὲ ὦν σὺ ἢ μέθες ἰέναι ἐπὶ τὴν θήρην, ἢ
" λόγῳ ἀνάπεισον, ὅκως μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω
" ποιεόμενα." Ἀμείβεται Κροῖσος τοῖσδε, "Ὦ παῖ,
" οὔτε δειλίην, οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι,
" ποιέω ταῦτα· ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ
" ἐπιστᾶσα ἔφη σὲ ὀλιγοχρόνιον ἔσεσθαι. ὑπὸ γὰρ
" αἰχμῆς σιδηρέης ἀπολέεσθαι. πρὸς ὦν τὴν ὄψιν
" ταύτην, τόν τε γάμον τοι τοῦτον ἔσπευσα, καὶ ἐπὶ τὰ
" παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων,
" εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς σε ζωῆς διακλέψαι.
" εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ
" δὴ ἕτερον, διεφθαρμένον τὴν ἀκοὴν, οὐκ εἶναί μοι λο-
" γίζομαι." Ἀμείβεται ὁ νεηνίης τοῖσδε, "Συγγνώ-
" μη μὲν, ὦ πάτερ, τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ
" ἐμὲ φυλακὴν ἔχειν. τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέ-
" ληθέ σε τὸ ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι φράζειν. φῂς
" τοι τὸ ὄνειρον ὑπὸ αἰχμῆς σιδηρέης φάναι ἐμὲ τε-
" λευτήσειν· ὑὸς δὲ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχ-
" μὴ σιδηρέη, τὴν σὺ φοβέαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόν-
" τος τοι εἶπε τελευτήσειν με, ἢ ἄλλου τευ ὃ, τι τού-
" τῳ ἔοικε, χρῆν δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ ὑπὸ

αἰχμῆς.

" αἰχμῆς. ἐπεί τε ὦν ἐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ
" μάχη, μέθες με.", Ἀμείβεται Κροῖσος, "Ὦ παῖ,
" ἔςε τῇ με νικᾷς γνώμην ἀποφαίνων περὶ τῦ ἐνυ-
" πνίε. ὡς ὦν νενικημένος ὑπὸ σέο, μεταγινώσκω, με-
" τίημι τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην."

5. Εἴπας δὲ ταῦτα ὁ Κροῖσος, μεταπέμπεται τὸν Φρύγα Ἄδρηςον· ἀπικομένῳ δὲ οἱ λέγει τάδε, "Ἄ-
" δρηςε, ἐγώ σε συμφορῇ πεπληγμένον, ἀχαρίτην
" τοι ἐκ ὀνειδίζων, ἐκάθηρα, καὶ οἰκίοισι ὑποδεξάμε-
" νος ἔχω, παρέχων πᾶσαν δαπάνην· νῦν ὦν (ὀφεί-
" λεις γὰρ ἐμεῦ προποιήσαντος χρηςὰ ἔς σε, χρηςοῖσί
" με ἀμείβεσθαι) φύλακα παιδός σε τῦ ἐμῦ χρήζω
" γενέσθαι, ἐς ἄγρην ὁρμεωμένε· μή τινες κατ' ὁδὸν
" κλῶπες κακῦργοι ἐπὶ δηλήσει φανέωσιν ὑμῖν. πρὸς
" δὲ τῦτο, καί σέ τοι χρεών ἐςιν ἰέναι ἔνθα ἀπολαμ-
" πρύνεαι τοῖσιν ἔργοισι· πατρώϊόν τε γάρ τοι ἐςὶ,
" καὶ προσέτι ῥώμη ὑπάρχει." Ἀμείβεται ὁ Ἄδρη-
ςος, "Ὦ βασιλεῦ, ἄλλως μὲν ἔγωγε ἂν ἐκ ἤια ἐς
" ἄεθλον τοιόνδε· ἔτε γὰρ συμφορῇ τοιῇδε κεχρημένον
" εἰκός ἐςιν ἐς ὁμήλικας εὖ πρήσσοντας ἰέναι, ἔτε τὸ
" βέλεσθαι πάρα. πολλαχῇ τε ἀνίσχον ἐμεωϋτόν·
" νῦν δὲ, ἐπεί τε σὺ σπεύδεις, καὶ δεῖ τοι χαρίζεσθαι
" (ὀφείλω γάρ σε ἀμείβεσθαι χρηςοῖσι) ποιέειν εἰμὶ
" ἕτοιμος ταῦτα. παῖδά τε σὸν, τὸν διακελεύεαι φυ-
" λάσσειν, ἀπήμονα τῦ φυλάσσοντος εἵνεκεν προσδόκα
" τοι ἀπονοςήσειν."

6. Τοιέτοισιν

6. Τοιούτοισιν ἐπεί τε οὗτος ἀμείψατο Κροῖσον, ἦισαν μετὰ ταῦτα, ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ κυσί. ἀπικόμενοι δὲ ἐς τὸν Οὔλυμπον τὸ ὄρος, ἐζήτεον τὸ θηρίον· εὑρόντες δὲ, καὶ περιστάντες αὐτὸ κύκλῳ, ἐσηκόντιζον. ἔνθα δὴ ὁ ξεῖνος οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην. ἔθεε δέ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός· ἀπικόμενος δὲ ἐς τὰς Σάρδις, τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ.

7. Ὁ δὲ Κροῖσος, τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος, μᾶλλόν τι ἐδεινολογέετο, ὅτι μιν ἀπέκτεινε τὸν αὐτὸς φόνου ἐκάθηρε. περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς, ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη. ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν· τὸν μὲν ἐπίστιον καλέων, ὅτι δὴ οἰκίοισιν ὑποδεξάμενος τὸν ξεῖνον, φονέα τοῦ παιδὸς ἐλάνθανε βόσκων· τὸν δὲ ἑταιρήϊον, ὡς φύλακα συμπέμψας αὐτῷ εὑρήκοι πολεμιώτατον. Παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες τὸν νεκρὸν, ὄπισθεν δὲ εἵπετο οἱ ὁ φονεύς. στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ παρεδίδου ἑωυτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικατασφάξαί μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορὴν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη· οὐδέ οἱ

εἴη

εἴη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας, τόν τε Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηΐῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτὸν, "Ἔχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεωϋτοῦ καταδικάζεις θάνατον. εἶς δὲ οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο· ἀλλὰ θεῶν κού τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι." Κροῖσος μέν νυν ἔθαψε, ὡς εἰκὸς ἦν, τὸν ἑωϋτοῦ παῖδα. Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωϋτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι, τῶν αὐτὸς ᾔδεε, βαρυσυμφορώτατος, ἑωϋτὸν ἐπικατασφάζει τῷ τύμβῳ.

ΚΥΡΟΣ ἐκ τῆς ΚΛΕΙΟΥΣ.

ΤΑῦτα 1 δὴ ὦν φυλασσόμενος ὁ Ἀστυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον, ἄνδρα οἰκήϊον, πιστότατόν τε Μήδων, καὶ πάντων ἐπίτροπον

1 Ταῦτα δὴ ὦν] *Hic per somnium vidit è filiâ quam unicam habebat, vitem enatam, cujus palmite omnis Asia obumbraretur. Consulti harioli, ex eâdem filiâ nepotem ei futurum, cujus magnitudo prænuncietur, regnique ei amissionem portendi, responderunt.* Justinus.

τῶν ἑωϋτȣ, ἔλεγέ οἱ τοιάδε· "Ἅρπαγε, πρῆγμα
"τὸ ἄν σοι προσθέω, μηδαμῆ παραχρήσῃ· μηδὲ ἐμέ
"τε παραβάλῃ καὶ ἄλλȣς ἑλόμενος, ἐξ ὑςέρης σοι
"ἑωϋτῷ περιπέσῃς. λάβε τὸν Μανδάνη ἔτεκε παῖ-
"δα. φέρων δὲ ἐς σεωϋτȣ, ἀπόκτεινον· μετὰ δὲ, θά-
"ψον τρόπῳ ὅτεῳ αὐτὸς βȣ́λεαι. ὁ δὲ ἀμείβεται·
"Ὦ βασιλεῦ, ȣ̓́τε ἄλλοτέ κω παρεῖδες ἀνδρὶ τῷδε
"ἄχαρι ȣ̓δὲν, φυλασσόμεθα δὲ ἔς σὲ καὶ ἐς τὸν με-
"τέπειτα χρόνον μηδὲν ἐξαμαρτεῖν· ἀλλ' εἴ τοι φίλον
"τȣ̃το ȣ̓́τω γίνεσθαι, χρὴ δὴ τόγε ἐμὸν ὑπηρετέεσθαι
"ἐπιτηδέως."

2. Τȣ́τοισιν ἀμειψάμενος ὁ Ἅρπαγος, ὡς οἱ πα-
ρεδόθη τὸ παιδίον κεκοσμημένον τὴν ἐπὶ θανάτῳ, ἤει
κλαίων ἐς τὰ οἰκία. Παρελθὼν δὲ ἔφραζε τῇ ἑωϋτȣ̃
γυναικὶ τὸν πάντα Ἀςυάγεος ῥηθέντα λόγον. Ἡ δὲ
πρὸς αὐτὸν λέγει, "Νῦν ὦν τί σοι ἐν νόῳ ἐςὶ ποι-
"έειν;" ὁ δὲ ἀμείβεται. "Οὐκ ᾗ ἐνετέλλετο Ἀςυά-
"γης. Οὐδ' εἰ παραφρονήσειέ τε καὶ μανεῖται κά-
"κιον, ἢ νῦν μαίνεται, ȣ̓̃ οἱ ἔγωγε προσθήσομαι τῇ
"γνώμῃ, ȣ̓δὲ ἐς φόνον τοιȣ̃τον ὑπηρετήσω. Πολλῶν
"δὲ εἵνεκα ȣ̓̓ φονεύσω μιν· καὶ ὅτι αὐτῷ μοὶ συγ-
"γενής ἐςιν ὁ παῖς, καὶ ὅτι Ἀςυάγης μέν ἐςι γέρων,
"καὶ ἄπαις ἔρσενος γόνȣ· εἰ δὲ θελήσει, τȣ́τȣ τελευ-
"τήσαντος, ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραν-
"νὶς, ἧς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλο τί ἢ λεί-
"πεται τὸ ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ μέγιςος; ἀλλὰ
"τȣ̃

" τῆ μὲν ἀσφαλέος εἵνεκα ἐμοὶ, δεῖ τῆτον τελευτᾶν
" τὸν παῖδα· δεῖ μέντοι τῶν τινα Ἀςυάγεος αὐτῷ
" φονέα γενέσθαι, καὶ μὴ τῶν ἐμῶν."

3. Ταῦτα εἴπας ἄγγελον ἔπεμπε ἐπὶ τὸν βυκόλον τὸν Ἀςυάγεος, τὸν ἠπίςατο νομάς τε ἐπιτηδεωτάτας νεμόντα, καὶ ὄρεα θηριωδέςατα· τῷ ὄνομα ἦν Μιτραδάτης. Συνοίκεε δὲ τῇ ἑωυτῦ συνδύλῃ· ὄνομα δὲ τῇ γυναικὶ ἦν τῇ συνοίκεε Κυνὼ, κατὰ τὴν τῶν Ἑλλήνων γλῶσσαν, κατὰ δὲ τὴν Μηδικὴν, Σπακώ. Τὴν γὰρ κύνα καλέυσι σπάκα Μῆδοι. Αἱ δὲ ὑπώρεαι εἰσὶ τῶν ὀρέων, ἔνθα τὰς νόμας τῶν βοῶν εἶχε ὗτος δὴ ὁ βυκόλος, πρὸς Βορέω τε ἀνέμυ τῶν Ἐκβατάνων, καὶ πρὸς τῦ πόντυ τῦ Εὐξείνυ. Ταύτῃ μὲν γὰρ ἡ Μηδικὴ χώρη πρὸς Σασπείρων ὀρεινή ἐςι κάρτα, καὶ ὑψηλή τε, καὶ ἴδῃσι συνηρεφής· ἡ καὶ ἄλλη Μηδικὴ χώρη ἐςι πᾶσα ἄπεδος. Ἐπεὶ ὦν ὁ βυκόλος σπυδῇ πολλῇ καλεόμενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τοιάδε.

" Κελεύει σε Ἀςυάγης τὸ παιδίον τῦτο λαβόντα,
" θεῖναι ἐς τὸ ἐρημότατον τῶν ὀρέων, ὅκως ἂν τάχιςα
" διαφθαρείη· καὶ τάδε τοι ἐκέλευσε εἰπεῖν, Ἢν μὴ
" ἀποκτείνῃς αὐτὸ, ἀλλά τεῳ τρόπῳ περιποιήσῃ, ὀλέ-
" θρῳ τῷ κακίςῳ σε διαχρήσεσθαι· ἐπορᾷν δὲ ἐκκείμε-
" νον διατέταγμαι ἐγώ."

 4. Ταῦτα

4. Ταῦτα ἀκούσας ὁ βουκόλος, καὶ ἀναλαβὼν τὸ παιδίον, ἤιε τὴν αὐτὴν ὀπίσω ὁδὸν, καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν· τῷ δ' ἄρα καὶ αὐτῷ ἡ γυνὴ ἐπίτεξ ἐοῦσα πᾶσαν ἡμέρην, τότε κως κατὰ δαίμονα τίκτει, οἰχομένου τοῦ βουκόλου ἐς πόλιν. ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι· ὁ μὲν, τοῦ τόκου τῆς γυναικὸς ἀρρωδέων, ἡ δὲ γυνὴ ὅτι οὐκ ἐωθὼς ὁ Ἅρπαγος μετεπέμψατο αὐτῆς τὸν ἄνδρα· ἐπεί τε δὲ ἀπονοστήσας ἐπέστη, οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ, εἴρετο προτέρη, ὅτι μιν οὕτω προθύμως Ἅρπαγος μετεπέμψατο. Ὁ δὲ εἶπε.

“Ὦ γύναι, εἶδόν τε ἐς πόλιν ἐλθὼν καὶ ἤκουσα, τὸ μήτε ἰδεῖν ὄφελον, μή τε κοτε γενέσθαι ἐς δεσπότεας ἡμετέρους. Οἶκος μὲν πᾶς Ἁρπάγου κλαυθμῷ κατείχετο· ἐγὼ δὲ ἐκπλαγεὶς, ἤια ἔσω. Ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω παιδίον προκείμενον ἀσπαῖρόν τε καὶ κραυγανόμενον, κεκοσμημένον χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπαγος δὲ ὡς εἶδέ με, ἐκέλευε τὴν ταχίστην ἀναλαβόντα τὸ παιδίον, οἴχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη τῶν ὀρέων· φὰς Ἀστυάγεα εἶναι, τὸν τοιαῦτα ἐπιθέμενόν μοι· πόλλ' ἀπειλήσας, εἰ μή σφεα ποιήσαιμι. καὶ ἐγὼ ἀναλαβὼν ἔφερον, δοκέων τῶν τινος οἰκετέων εἶναι. οὐ γάρ ἄν κοτε κατέδοξα ἔνθα γε ἦν. Ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμημένον· πρὸς δὲ, καὶ κλαυθμὸν κατεστεῶτα ἐμφανέα ἐν Ἁρπάγου.

“ πάγυ. Καὶ δὴ κατ' ὁδὸν πυνθάνομαι τὸν πάντα
“ λόγον θεράποντος, ὃς ἐμὲ προπέμπων ἔξω πόλιος,
“ ἐνεχείρισε τὸ βρέφος· ὡς ἄρα Μανδάνης τε εἴη παῖς
“ τῆς Ἀςυάγεω θυγατρὸς, καὶ Καμβύσεω τῦ Κύρυ·
“ καί μιν Ἀςυάγης ἐντέλλεται ἀποκτεῖναι· νῦν τε
“ ὧδέ ἐςι.”

Ἅμα δὲ ταῦτα ἔλεγε ὁ βυκόλος, καὶ ἐκκαλύψας ἀπεδείκνυε. Ἡ δὲ, ὡς εἶδε τὸ παιδίον μέγα τε καὶ εὐειδὲς ἐὸν, δακρύσασα, καὶ λαβομένη τῶν γυνάτων τῦ ἀνδρὸς, ἔχρηζε μηδεμιῇ τέχνῃ, ἐκθεῖναί μιν. ὁ δὲ ὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν. ἐπιφοιτήσειν γὰρ κατασκόπυς ἐξ Ἁρπάγυ κατοψομένυς· ἀπολέεσθαι τε κάκιςα, ἢν μή σφεα ποιήσῃ. Ὡς δὲ ὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε.

“ Ἐπεὶ τοίνυν ὐ δυνάμαι σε πείθειν μὴ ἐκθεῖναι,
“ σὺ δὲ ὧδε ποίησον, εἰ δὴ πᾶσά γε ἀνάγκη ὀφθῆναι
“ ἐκκείμενον. τέτοκα γὰρ καὶ ἐγὼ, τέτοκα δὲ τεθνεός·
“ τῦτο μὲν φέρων πρόθες· τὸν δὲ τῆς Ἀςυάγεος θυ-
“ γατρὸς παῖδα, ὡς ἐξ ἡμέων ἐόντα, τρέφωμεν. καὶ
“ ὕτω ὔτε σὺ ἁλώσεαι ἀδικέων τὺς δεσπότεας, ὔτε
“ ἡμῖν κακῶς βεβυλευμένα ἔςαι. Ὅτε γὰρ τεθνεὼς
“ βασιληΐης ταφῆς κυρήσει, καὶ ὁ περιεὼν ὐκ ἀπο-
“ λέσει τὴν ψυχήν.

Κάρτα τε ἔδοξε τῷ βυκόλῳ πρὸς τὰ παρεόντα εὖ λέγειν ἡ γυνὴ, καὶ αὐτίκα ἐποίεε ταῦτα· τὸν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παραδιδοῖ τῇ ἑωϋτοῦ γυναικί· τὸν δὲ ἑωϋτοῦ ἐόντα νεκρὸν λαβὼν, ἔθηκε ἐς τὸ ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον. κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν ὀρέων τιθεῖ· ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἤιε ἐς πόλιν ὁ βυκόλος, τῶν τινα προβοσκῶν φύλακα αὐτοῦ καταλιπών. Ἐλθὼν δὲ ἐς τοῦ Ἁρπάγου, ἀποδεικνύναι ἔφη ἕτοιμος εἶναι τοῦ παιδίου τὸν νέκυν· πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωϋτοῦ δορυφόρων τοὺς πιστοτάτους, εἶδέ τε διὰ τούτων, καὶ ἔθαψε τοῦ βυκόλου τὸ παιδίον. Καὶ τὸ μὲν ἐθάπτετο· τὸν δὲ ὕστερον τούτων Κῦρον ὀνομασθέντα, παραλαβοῦσα ἔτρεφε ἡ γυνὴ τοῦ βυκόλου, οὔνομα ἄλλα κού τι, καὶ οὐ Κῦρον θεμένη.

ΑΡΤΑ'ΒΑΝΟΣ καὶ ΞΕ'ΡΞΗΣ.

Ἐκ τῆς ΠΟΛΥΜΝΙ'ΑΣ.

ΜΑρδόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην ἐπέπαυτο. Σιωπώντων δὲ τῶν ἄλλων Περσέων, καὶ οὐ τολμώντων γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ Ἀρτάβανος ὁ Ὑστάσπεος, πάτρως ἐὼν Ξέρξῃ, τῷ δὴ καὶ πίσυνος ἐὼν, ἔλεγε τάδε.

"Ὦ Βασιλεῦ, μὴ λεχθεισέων μὲν γνωμέων ἀν-
" τιέων ἀλλήλῃσι, ἐκ ἔςι τὴν ἀμείνω αἱρεόμενον ἑλεσ-
" θαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρῆσθαι· λεχθεισέων δὲ,
" ἔςι· ὥσπερ τὸν χρυσὸν τὸν ἀκήραῖον, αὐτὸν μὲν
" ἐπ' ἑωύτε ἐ διαγινώσκομεν, ἐπεὰν δὲ παρατρίψω-
" μεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω. ἐγὼ
" δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ, Δαρείῳ, ἠγό-
" ρευον μὴ ςραῖεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας ἐδαμόθι
" γῆς ἄςυ νέμονῖας· ὁ δὲ, ἐλπίζων Σκύθας τὲς Νο-
" μάδας καῖαςρέψεσθαι, ἐμοί τε ἐκ ἐπείθεῖο, ςραῖευ-
" σάμενος τε, πολλὲς τε καὶ ἀγαθὲς τῆς ςρατιῆς
" ἀποβαλὼν ἀπῆλθε. σὺ δὲ, ὦ βασιλεῦ, μέλλεις ἐπ'
" ἄνδρας ςραῖεύεσθαι πολλὸν ἀμείνονας ἢ Σκύθας·
" οἳ κατὰ θάλασσάν τε ἄρισοι καὶ κατὰ γῆν λέ-
" γονῖαι εἶναι.

2. " Σὺ ὦν μὴ βελεύε ἐς κίνδυνον μηδένα τοιἔ-
" τον ἀπικέσθαι, μηδεμιῆς ἀνάγκης ἐέσης. ἀλλ' ἐμοὶ
" πείθεο· νῦν μέν τὸν σύλλογον τόνδε διάλυσον· αὖ-
" τίς τε ὅταν τοι δοκέει, προσκεψάμενος ἐπὶ σεωϋ-
" τε, προαγόρευε τά τοι δοκέει εἶναι ἄρισα. τὸ γὰρ
" εὖ βελεύεσθαι, κέρδος μέγισον εὑρίσκω ἐόν, εἰ γὰρ
" καὶ ἐναντιωθῆναί τοι θέλει, βεβέλευῖαι μὲν ἐδὲν ἧσ-
" σον εὖ, ἕσσωῖαι δὲ ὑπὸ τῆς τύχης τὸ βέλευμα· ὁ
" δὲ βελευσάμενος αἰσχρῶς, εἴ οἱ ἡ τύχη ἐπίσποιῖο,
" εὕρημα εὕρηκε, ἧσσόν δὲ ἐδέν οἱ κακῶς βεβέλευῖαι.
" ὁρᾷς ὡς τὰ ὑπερέχονῖα ζῶα κεραυνοῖ ὁ θεὸς, ἐδὲ

" ἐᾷ

" ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ ὐδέ μιν κνίζει·
" ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δέν-
" δρεα, τὰ τοιαῦτ' ἀποσκήπτει βέλεα; φιλέει γὰρ ὁ
" θεὸς τὰ ὑπερέχοντα πάντα κολόειν. ὕτω δὴ καὶ
" στρατὸς πολλὸς ὑπὸ ὀλίγυ διαφθείρεται κατὰ τοιόνδε·
" ἐπεάν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ, ἢ βρον-
" τὴν, δι' ὧν ἐφθάρησαν ἀναξίως ἑωϋτῶν· ὐ γὰρ ἐᾷ
" φρονέειν ἄλλον μέγα ὁ θεὸς ἢ ἑωϋτόν· ἐπειχθῆναι
" μέν νυν πᾶν πρῆγμα, τίκτει σφάλματα, ἐκ τῶν
" ζημίαι μεγάλαι φιλέυσι γίνεσθαι· ἐν δὲ τῷ ἐπισ-
" χεῖν ἔνεστε ἀγαθὰ, εἰ μὴ παραυτίκα δοκέοντα εἶναι,
" ἀλλ' ἀνὰ χρόνον εὕροι τις ἄν. σοὶ μὲν δὴ ταῦτα,
" ὦ βασιλεῦ, συμβυλεύω.

3. " Σὺ δὲ, ὦ παῖ Γωβρύεω Μαρδόνιε, παῦσαι
" λέγων λόγυς ματαίυς περὶ Ἑλλήνων, ὐκ ἐόντων
" ἀξίων φλαύρως ἀκύειν. Ἕλληνας γὰρ διαβάλλων,
" ἐπαίρεις αὐτὸν βασιλῆα στρατεύεσθαι. αὐτῦ δὲ τύ-
" τυ εἵνεκα δοκέεις μοι πᾶσαν προθυμίην ἐκτείνειν. μή
" νυν ὕτω γένηται· διαβολὴ γάρ ἐστι δεινότατον· ἐν τῇ
" δύο μέν εἰσι οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος· ὁ
" μὲν γὰρ διαβάλλων, ἀδικέει, ὐ παρεόντος κατηγο-
" ρέων· ὁ δὲ ἀδικέει ἀναπειθόμενον, πρὶν ἢ ἀτρεκέως
" ἐκμάθοι· ὁ δὲ δὴ ἀπεὼν τῦ λόγυ τάδε ἐν αὐτοῖσι
" ἀδικέεται, διαβληθείς τε ὑπὸ τῦ ἑτέρυ, καὶ νομισ-
" θεὶς πρὸς τῦ ἑτέρυ κακὸς εἶναι.

4. Ἀλλ'

4. " Ἀλλ' εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας
" τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν
" ἤθεσι τοῖσι Περσέων μενέτω· ἡμέων δὲ ἀμφοτέρων
" παραβαλλομένων τὰ τέκνα, στρατηλάτεε αὐτὸς σὺ
" ἐπιλεξάμενός τε ἄνδρας τοὺς ἐθέλεις, καὶ λαβὼν
" στρατιὴν ὁκόσην τινὰ βούλεαι. καὶ ἢν μὲν τῇ σὺ λέ-
" γεις, ἀναβαίνῃ βασιλέϊ τὰ πρήγματα, κτεινέσθων
" οἱ ἐμοὶ παῖδες, πρὸς δὲ αὐτοῖσι, καὶ ἐγώ· ἢν δὲ τῇ
" ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα πασχόντων, σὺν δέ
" σφι καὶ σύ, ἢν ἀπονοστήσῃς. εἰ δὲ ταῦτα μὲν ὑποδύ-
" νειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στράτευμα ἀνάξεις
" ἐπὶ τὴν Ἑλλάδα, ἀκούσεσθαί τινα φημὶ τῶν αὐτοῦ
" τῇδε ὑπολειπομένων, Μαρδόνιον μέγα τι κακὸν ἐξ-
" εργασάμενον Πέρσας ὑπὸ κυνῶν τε καὶ ὀρνίθων δια-
" φορεύμενον, ἤ κου ἐν γῇ τῇ Ἀθηναίων, ἤ σέ γε ἐν τῇ
" Λακεδαιμονίων· εἰ μὴ ἄρα καὶ πρότερον κατ' ὁδόν,
" γνόντα ἐπ' οἵους ἄνδρας ἀναγινώσκεις στρατεύεσθαι
" βασιλῆα." Ἀρτάβανος μὲν ταῦτα ἔλεξε.

5. Ξέρξης δὲ θυμωθεὶς ἀμείβεται τοῖσδε, " Ἀρ-
" τάβανε, πατρὸς εἶς τοῦ ἐμοῦ ἀδελφεός. τοῦτό δέ σε
" ῥύσεται μηδένα ἄξιον μισθὸν λαβεῖν ἐπέων ματαίων.
" καίτοι ταύτην τὴν ἀτιμίην προστίθημι, ἐόντι κα-
" κῷ τε καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἐμοί γε ἐπὶ
" τὴν Ἑλλάδα, αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί·
" ἐγὼ δὲ καὶ ἄνευ σέο, ὅσαπερ εἶπα. ἐπιτελέα ποιή-
" σω, μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος, τοῦ
" Ἀρσάμεος,

“ Ἀρσάμεος, τοῦ Ἀρμνέω, τοῦ Τεΐσπεος, τοῦ Κύρου, τοῦ Καμβύσεω, τοῦ Ἀχαιμένεος γεγονὼς, μὴ τιμωρησάμενος Ἀθηναίους· εὖ ἐπιστάμενος ὅτι εἰ ἡμεῖς ἡσυχίην ἕξομεν, ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ μάλα στρατεύσονται ἐπὶ τὴν ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι ὑπαργμένοισι ἐξ ἐκείνων· οἳ Σάρδις τε ἐνέπρησαν, καὶ ἤλασαν ἐς τὴν Ἀσίην. οὐκ ὦν ἐξαναχωρέειν οὐδετέροισι δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθέειν προκέεται ἀγών· ἵνα ἢ τάδε πάντα ὑπὸ Ἕλλησι ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. καλὸν ὦν προπεπονθότας ἡμέας τιμωρέειν ἤδη γίνεται, ἵνα καὶ τὸ δεινὸν, τὸ πείσομαι, τοῦτο μάθω, ἐλάσας ἐπ' ἄνδρας τούτους. τούς γε καὶ Πέλοψ ὁ Φρὺξ, ἐὼν τῶν ἐμῶν πατέρων δοῦλος, κατεστρέψατο οὕτω, ὡς καὶ ἐς τόδε αὐτοί τε ἄνθρωποι καὶ ἡ γῆ αὐτέων ἐπώνυμοι τοῦ καταστρεψαμένου καλέονται.” Ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο.”

6. Μετὰ δὲ, εὐφρόνη τε ἐγίνετο, καὶ Ξέρξεα ἔκνιζε ἡ Ἀρταβάνου γνώμη. νυκτὶ δὲ βουλὴν διδοὺς, πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα.

ΞΕΡΞΗΣ

ΞΕΡΞΗΣ καὶ ΑΡΤΑΒΑΝΟΣ ἐν ΑΒΥΔΩ.

'Εκ τῆς ΠΟΛΥΜΝΙΑΣ.

Ἐπεὶ δ' ἐγένοντο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν, καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου λευκοῦ· ἐποίησαν δὲ Ἀβυδηνοί, ἐντειλαμένου πρότερον βασιλῆος. ἐνθαῦτα, ὡς ἵζετο κατορῶν, ἐπὶ τῆς ἠιόνος ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας· θηεύμενος δὲ, ἱμέρθη τῶν νεῶν ἅμιλλαν γενομένην ἰδέσθαι. ἐπεὶ δ' ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ. ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία, ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα Ξέρξης ἑωϋτὸν ἐμακάρισε· μετὰ δὲ τοῦτο, ἐδάκρυσε.

2. Μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως, οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα· οὗτος ὡνὴρ φρασθεὶς Ξέρξεα δακρύσαντα, εἴρετο τάδε, "Ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωϋτὸν, δακρύεις·" ὁ δὲ εἶπε, "Ἐπῆλθε γάρ με λογισάμενον κατοικτεῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τουτέων γε ἐόντων τοσούτων, οὐδεὶς ἐς ἑκατοστὸν

"ἔτος περιέσαι". ὁ δὲ ἀμείβετο λέγων, "Ἕτερα
" τούτου παρὰ τὴν ζόην πεπόνθαμεν οἰκτρότερα. ἐν γὰρ
" οὕτω βραχέϊ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαί-
" μων πέφυκε, οὔτε τουτέων, οὔτε τῶν ἄλλων, τῷ οὐ
" παραστήσεται πολλάκις, καὶ οὐκὶ ἅπαξ, τεθνάναι
" βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ τε γὰρ συμφοραὶ
" προσπίπτουσαι, καὶ αἱ νοῦσοι συνταράσσουσαι, καὶ
" βραχὺν ἐόντα, μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν
" βίον. οὕτω ὁ μὲν θάνατος, μοχθηρῆς ἐούσης τῆς ζόης,
" καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονε· ὁ δὲ
" θεὸς, γλυκὺν γεύσας τὸν αἰῶνα, φθονερὸς ἐν αὐτῷ
" εὑρίσκεται ἐών."

3. Ξέρξης δὲ ἀμείβετο λέγων, "Ἀρτάβανε, βιοτῆς
" μὲν νῦν ἀνθρωπηΐης πέρι, ἐούσης τοιαύτης οἵηνπερ
" σὺ διαιρέεαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν μεμ-
" νώμεθα, χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί. Φρά-
" σον δέ μοι τόδε, εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ
" ἐναργὴς οὕτω ἐφάνη, εἶχες ἂν τὴν ἀρχαίην γνώ-
" μην, οὐκ ἐῶν με στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἢ
" μετέστης ἄν; φέρε μοι τοῦτο ἀτρεκέως εἰπέ." Ὁ δὲ
ἀμείβετο λέγων, "Ὦ βασιλεῦ, ὄψις μὲν ἡ ἐπιφα-
" νεῖσα τοῦ ὀνείρου, ὡς βουλόμεθα ἀμφότεροι, τελευτή-
" σειε· ἐγὼ δ' ἔτι καὶ ἐς τόδε δείματός εἰμι ὑπό-
" πλεος, οὐδ' ἐντὸς ἐμεωϋτοῦ· ἄλλα τε πολλὰ ἐπιλε-
" γόμενος, καὶ δὴ καὶ ὁρέων τοι δύο τὰ μέγιστα πάν-
" των ἐόντα τοι πολεμιώτατα."

4. Ξέρξης

4. Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοῖσδε, “ Δαι-
“ μόνιε ἀνδρῶν, κοῖα ταῦτα λέγεις μοι εἶναι δύο πο-
“ λεμιώτατα; κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ τὸ
“ πλῆθός ἐστι, καὶ τὸ Ἑλληνικὸν στράτευμα φαίνεται
“ πολλαπλήσιον ἔσεσθαι τοῦ ἡμετέρου; ἢ τὸ ναυτικὸν
“ τὸ ἡμέτερον λείψεσθαι τοῦ ἐκείνων; ἢ καὶ συναμφό-
“ τερα ταῦτα; εἰ γάρ τοι ταύτῃ ἐνδεέστερα φαίνεται εἶναι
“ τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν τα-
“ χίστην ἄγερσιν ποιοῖτο.” ὁ δ' ἀμείβετο λέγων, “ Ὦ
“ βασιλεῦ, οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχει,
“ μέμφοιτ' ἄν, οὔτε τῶν νεῶν τὸ πλῆθος· ἢν δὲ πλεῦ-
“ νας συλλέξῃς, τὰ δύο τοι τὰ λέγω, πολλῷ ἔτι
“ πολεμιώτερα γίνεται. τὰ δὲ δύο ταῦτα, ἔστι γῆ τε
“ καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν
“ τοσοῦτος οὐδαμόθι (ὡς ἐγὼ εἰκάζω) ὅστις ἐγειρομένου
“ χειμῶνος, δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν, φερέγ-
“ γυος ἔσται διασῶσαι τὰς νέας. καίτοι οὐκὶ ἕνα αὐτὸν
“ δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπει-
“ ρον, παρ' ἣν δὴ κομίζεαι· οὔκων δὲ ἐόντων τοι λι-
“ μένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώ-
“ πων ἄρχουσι, καὶ οὐκὶ ὤνθρωποι τῶν συμφορέων.

5. Καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου, τὸ
“ ἕτερον ἔρχομαι ἐρέων. γῆ δὲ πολεμίη τῇδέ τοι κα-
“ τίσταται. εἰ ἐθέλει τοι μηδὲν ἀντίξοον καταστῆναι,
“ τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαί-
“ νοις ἑκαστέρω, τὸ πρόσω αἰεὶ κλεπτόμενος· εὐπρη-

" ξίης γὰρ ἐκ ἔςι ἀνθρώποισι ἐδεμίη πληθώρη. καὶ
" δή τοι, ὡς ἐδενὸς ἐναντιευμένε, λέγω τὴν χώρην
" πλεῦνα ἐν πλέονι χρόνῳ γινομένην, λιμὸν τέξεσθαι.
" ἀνὴρ δὲ ἔτω ἂν εἴη ἄριςος, εἰ βελευόμενος μὲν, ἀρ-
" ρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ
" τῷ ἔργῳ θρασὺς εἴη."

6. Ἀμείβεται Ξέρξης τοῖσδε, " Ἀρτάβανε, εἰκό-
" τως μὲν σύ γε τέτέων ἕκαςα διαιρέεαι· ἀτὰρ μήτε
" πάντα φοβέο, μήτε πᾶν ὁμοίως ἐπιλέγεο. εἰ γὰρ δὴ
" βέλοιο ἐπὶ τῷ αἰεὶ ἐπεσφερομένῳ πρήγματι τὸ πᾶν
" ὁμοίως ἐπιλέγεσθαι, ποιήσειας ἂν ἐδαμᾶ ἐδέν.
" κρέσσον δὲ, πάντα θαρσέοντα, ἥμισυ τῶν δεινῶν
" πάσχειν μᾶλλον, ἢ πᾶν χρῆμα προδειμαίνοντα,
" μηδαμᾶ μηδὲν παθεῖν. εἰ δὲ ἐρίζων πρὸς πᾶν τὸ
" λεγόμενον, μὴ τὸ βέβαιον ἀποδέξῃς, σφάλλεσθαι
" ὀφείλεις ἐν αὐτοῖσι· ὁμοίως καὶ ὁ ὑπεναντία τέτοισι
" λέξας. τῦτο μὲν νῦν ἐπίσης ἔχει· εἰδέναι δὲ ἄνθρω-
" πον ἐόντα κῶς χρὴ τὸ βέβαιον, δοκέω μὲν ἐδαμῶς.
" τοῖσι τοίνυν βελομένοισι ποιέειν, ὡς τοεπίπαν φιλέει
" γίνεσθαι τὰ κέρδεα· τοῖσι δὲ ἐπιλεγομένοισί τε
" πάντα καὶ ὀκνέεσι, ἐ μάλα ἐθέλει.

7. " Ὁρᾷς τὰ Περσέων πρήγματα ἐς ὃ δυνάμιος
" προκεχώρηκε; εἰ τοίνυν ἐκεῖνοι οἱ πρὸ ἐμεῦ γενό-
" μενοι βασιλῆες γνώμῃσι ἐχρέωντο τῇσι καὶ σὺ, ἢ μὴ
" χρεώμενοι γνώμῃσι τοιαύτῃσι, ἄλλες συμβέλες
εἶχον

" εἶχον τοιȣ́τȣς, ȣ̓κ ἂν κοτε εἶδες αὐτὰ ἐς τȣ̃το προελ-
" θόντα· νῦν δὲ κινδύνȣς ἀναῤῥιπτέοντες ἐς τȣ̃τό σφεας
" προηγάγοντο. μεγάλα γὰρ πρήγματα μεγάλοισι
" κινδύνοισι ἐθέλει καταιρέεσθαι. ἡμεῖς τοίνυν ὁμοιεύμε-
" νοι κείνοισι, ὥρην τε τȣ̃ ἔτεος καλλίστην πορευόμε-
" θα, καὶ καταστρεψάμενοι πᾶσαν τὴν Εὐρώπην, νοσ-
" τήσομεν ὀπίσω, ȣ̓́τε λιμῷ ἐντυχόντες ȣ̓δαμόθι, ȣ̓́τε
" ἄλλο ἄχαρι ȣ̓δὲν παθόντες. τȣ̃το μὲν γὰρ, αὐτοὶ
" πολλὴν φορβὴν φερόμεθα πορευόμενοι· τȣ̃το δὲ,
" τῶν ἂν κȣ ἐπιβέωμεν γῆν καὶ ἔθνος, τȣ̃τον τὸν σῖτον
" ἕξομεν· ἐπ' ἀροτῆρας δὲ καὶ ȣ̓ νομάδας στρατευόμεθα
" ἄνδρας."

8. Λέγει 'Αρτάβανος μετὰ ταῦτα, "Ὦ βασιλεῦ,
" ἐπεί τε ἀῤῥωδέειν ȣ̓δὲν ἐᾷς πρῆγμα, σὺ δέ μευ συμ-
" βȣλίην ἔνδεξαι. ἀναγκαίως γὰρ ἔχει περὶ πολλῶν
" πρηγμάτων πλεῦνα λόγον ἐκτεῖναι. Κῦρος ὁ Καμ-
" βύσεω 'Ιωνίην πᾶσαν πλὴν 'Αθηναίως κατεστρέψατο
" δασμοφόρον εἶναι Πέρσῃσι. τȣ́τȣς ὦν τȣ̀ς ἄνδρας
" συμβȣλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τȣ̀ς πα-
" τέρας. καὶ γὰρ ἄνευ τȣτέων οἷοί τε εἰμὲν τῶν ἐχ-
" θρῶν κατυπέρτεροι γίνεσθαι. ἢ γὰρ σφέας, ἢν
" ἕπωνται, δεῖ ἀδικωτάτȣς γίνεσθαι καταδȣλȣμένȣς
" τὴν μητρόπολιν, ἢ δικαιοτάτȣς, συνελευθερȣ̃ντας.
" ἀδικώτατοι μέν νυν γινόμενοι, ȣ̓δὲν κέρδος μέγα
" ἡμῖν προσβάλλȣσι· δικαιότατοι δὲ γινόμενοι, οἷοί
" τε δηλήσασθαι μεγάλως τὴν σὴν στρατιὴν γίνονται.

ἐς

" ἐς θυμὸν ὧν βαλεῦ καὶ τὸ παλαιὸν ἔπος, ὡς
" εὖ εἴρηται, τὸ μὴ ἅμα ἀρχῇ πᾶν τέλος κατα-
" φαίνεσθαι".

9. Ἀμείβεται πρὸς ταῦτα Ξέρξης, " Ἀρτάβανε,
" τῶν ἀπεφήναο γνωμέων, σφάλλεαι κατὰ ταύτην
" δὴ μάλιςα, ὅς Ἴωνας φοβέεαι μὴ μεταβάλλωσι.
" τῶν ἔχομεν γνῶμα μέγιςον, τῶν σύ τε μάρτυς
" γίνεαι, καὶ οἱ συςρατευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ
" Σκύθας, ὅτι ἐπὶ τούτοισι ἡ πᾶσα Περσικὴ ςρατιὴ
" ἐγένετο διαφθεῖραι καὶ περιποιῆσαι. οἱ δὲ δικαιο-
" σύνην καὶ πιςότητα ἐνέδωκαν, ἄχαρι δὲ οὐδέν. πάρ-
" εξ δὲ τούτου, ἐν τῇ ἡμετέρῃ καταλιπόντας τέκνα τε
" καὶ γυναῖκας καὶ χρήματα, οὐδ' ἐπιλέγεσθαι χρὴ
" νεώτερόν τι ποιήσειν. οὕτω δὲ μηδὲ τοῦτο φοβέο, ἀλλὰ
" θυμὸν ἔχων ἀγαθὸν, σῶζε οἶκόν τε τὸν ἐμὸν, καὶ
" τυραννίδα τὴν ἐμήν. σοὶ γὰρ ἐγὼ μούνῳ ἐκ πάντων
" σκῆπτρα τὰ ἐμὰ ἐπιτράπω."


10. Ταῦτα εἴπας, καὶ Ἀρτάβανον ἀποςείλας ἐς Σοῦσα, δεύτερα μετεπέμψατο Ξέρξης Περσέων τοὺς δοκιμωτάτους. ἐπεὶ δὲ οἱ παρῆσαν, ἔλεγέ σφι τάδε,
" Ὦ Πέρσαι τῶν δ' ἐγὼ ὑμέων χρήζων, συνέλεξα
" ἄνδρας τε γίνεσθαι ἀγαθοὺς, καὶ μὴ καταισχύνειν τὰ
" πρόσθεν ἐργασμένα Πέρσησι, ἐόντα μεγάλα τε καὶ
" πολλοῦ ἄξια· ἀλλ' εἷς τε ἕκαςος καὶ οἱ σύμπαντες

" προθυμίην

" προθυμίην ἔχωμεν. ξυνὸν γὰρ τοῦτο πᾶσι ἀγαθὸν
" σπεύδεται. τῶν δὲ εἵνεκα προαγορεύω ἀντέχεσθαι
" τοῦ πολέμου ἐντεταμένως· ὡς γὰρ ἐγὼ πυνθάνομαι,
" ἐπ' ἄνδρας στρατευόμεθα ἀγαθούς. τῶν ἢν κρατήσω-
" μεν, οὐ μή τις ἡμῖν ἄλλος στρατὸς ἀντιστῇ κοτε ἀν-
" θρώπων. νῦν δὲ διαβαίνωμεν, ἐπευξάμενοι τοῖσι
" θεοῖσι τοὶ Περσίδα γῆν λελόγχασι."



PARS



PARS II.

Ex THUCYDIDE.

ΠΕΡΙ τῶν πάλαι ἙΛΛΗ'ΝΩΝ.

Ἐκ τῆς ΘΟΥΚΥΔΙ'ΔΟΥ ΞΥΓΓΡΑΦΗ'Σ.

Οἱ μὲν Ἕλληνες τοπάλαι, καὶ τῶν βαρβάρων οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλήσσιοι, καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους, ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων, κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα, καὶ τοῖς ἀσθενέσι τροφῆς. καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις, καὶ κατὰ κώμας οἰκουμέναις, ἥρπαζον, καὶ τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο· οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς τοῦτο δρᾷν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν, τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν· ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. ἐλῄζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους. καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος τῷ πα-

λαιῷ

λαιῷ τρόπῳ νέμεσθαι, περί τε Λοκρὺς τὺς Ὀζόλας, καὶ Αἰτωλὺς, καὶ Ἀκαρνᾶνας, καὶ τὴν ταύτῃ ἤπειρον, τό, τε σιδηροφορεῖσθαι τύτοις τοῖς ἠπειρώταις ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε.

2. Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰ ἀφράκτυς τε οἰκήσεις, καὶ ὐκ ἀσφαλεῖς παρ' ἀλλήλυς ἐφόδυς. καὶ ξυνηθῆ τὴν δίαιταν μεθ' ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ βάρβαροι. σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι ὕτω νεμόμενα, τῶν ποτὲ καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρρον κατέθεντο, καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν.

3. Τῶν δὲ πόλεων ὅσαι μὲν νεώτατα ᾠκίσθησαν, καὶ ἤδη πλωϊμωτέρων ὄντων, περιυσίας μᾶλλον ἔχυσαι χρημάτων, ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο, καὶ τὺς ἰσθμὺς ἀπελάμβανον, ἐμπορίας τε ἕνεκα, καὶ τῆς πρὸς τὺς προσοίκυς ἕκαστοι ἰσχύος· αἱ δὲ παλαιαὶ, διὰ τὴν λῃστείαν ἐπιπολὺ ἀντισχῦσαι, ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵ τε ἐν ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις. ἔφερον γὰρ ἀλλήλυς τε καὶ τῶν ἄλλων ὅσοι ὄντες ὐ θαλάσσιοι κάτω ᾤκυν· καὶ μέχρι τῦδε ἔτι ἀνῳκισμένοι εἰσί.

4. Καὶ ὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες· ὗτοι γὰρ δὴ τὰς πλείστας τῶν

νήσων ᾤκησαν· μαρτύριον δέ· Δήλȣ γὰρ καθαιρομένης ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ, καὶ τῶν θηκῶν ἀναιρεθεισῶν, ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ Κᾶρες ἐφάνησαν, γνωσθέντες τῇτε σκευῇ τῶν ὅπλων ξυντεθαμμένῃ, καὶ τῷ τρόπῳ, ᾧ νῦν ἔτι θάπτȣσι. καταςάντος δὲ τȣ̃ Μίνω ναυτικȣ̃, πλωϊμώτερα ἐγένετο παρ' ἀλλήλȣς· οἱ γὰρ ἐκ τῶν νήσων κακȣ̃ργοι ἀνέςησαν ὑπ' αὐτȣ̃, ὅτε περ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε. καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιȣ́μενοι, βεβαιότερον ᾤκȣν. Καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς πλȣσιώτεροι ἑαυτῶν γιγνόμενοι. ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵ τε ἥσσȣς ὑπέμενον τὴν τῶν κρεισσόνων δȣλείαν, οἵτε δυνατώτεροι περιȣσίας ἔχοντες, προσεποιȣ̃ντο ὑπηκόȣς τὰς ἐλάσσȣς πόλεις καὶ ἐν τȣ́τῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες, ὑςέρῳ χρόνῳ ἐπὶ Τροίαν ἐςράτευσαν.

Ἐκ

Ἐκ τῆς ΘΟΥΚΥΔΙ'ΔΟΥ ΞΥΓΓΡΑΦΗ͂Σ.

Ὁ τῶν ΑΘΗΝΑΙ'ΩΝ ΛΟΙΜΟ'Σ.

ΤΟΥ͂ δὲ θέρους εὐθὺς ἀρχομένου, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τὰ δύο μέρη, ὥσπερ καὶ τὸ πρῶτον, ἐσέβαλον ἐς τὴν Ἀττικὴν, (ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεὺς) καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον, καὶ ἐν ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς, οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία. ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν· τελευτῶντές τε αὐτῶν ἀπέστησαν, ὑπὸ τοῦ κακοῦ νικώμενοι.

2. Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε, καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλή-

ἐσβεβλήκοιεν ἐς τὰ Φρέατα. κρῆναι γὰρ ὄυπω ἦσαν αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. λεγέτω μὲν οὖν περὶ αὐτοῦ ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς, καὶ ἰδιώτης, ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας ἅστινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴποτε καὶ αὖθις ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τὶ προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

3. Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ, καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε. καὶ τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν, καὶ πνεῦμα ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο. καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος, μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπῄεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. λύγξ τε τοῖς πλείοσιν ἐνέπιπτε κενὴ σπασμὸν

μὸν ἐνδιδοῦσα ἰσχυρόν, τοῖς μὲν μετὰ ταῦτα λωφήσαντα, τοῖς δέ, καὶ πολλῷ ὕστερον. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρόν, ἀλλ' ὑπέρυθρον, πελιδνόν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολάς, μήτ' ἄλλό τι ἢ γυμνὸν ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων καὶ ἔδρασαν ἐς φρέατα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι. καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό, τε πλέον καὶ ἔλασσον ποτόν· καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐπέκειτο διαπαντός· καὶ τὸ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ. ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐνναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἤ, εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐπιπιπτούσης, οἱ πολλοὶ ὕστερον διὰ τὴν ἀσθένειαν διεφθείροντο. διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν· καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινε. κατέσκηπτε γὰρ καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυ-

τίκα

τίκα ἀναστάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους·

4. Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου, τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ, καὶ ἐν τῷδε ἐδήλωσε μάλιστα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι. τὰ γὰρ ὄρνεα καὶ τετράποδα ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο. τεκμήριον δὲ, τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως, οὔτε περὶ τοιοῦτον οὐδέν. οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος, διὰ τὸ ξυνδιαιτᾶσθαι.

5. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν. καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. ἔθνησκον δὲ, οἱ μὲν, ἀμελείᾳ, οἱ δὲ, καὶ πάνυ θεραπευόμενοι. ἕν τε οὐδὲν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅ, τι χρῆν προσφέροντας ὠφελεῖν. τὸ γάρ τῳ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτε. σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ, ἰσχύος πέρι ἢ ἀσθενείας ἀλλὰ πάντα ξυνῄρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία, ὁπότε τις αἴσθοιτο κάμνων, (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι

πόμενοι

πόμενοι τῇ γνώμῃ, πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτὲς, καὶ ἐκ ἀντεῖχον) καὶ ὅτι ἕτερος ἀφ᾽ ἑτέρε, θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ τὰ πρόβατα, ἔθνησκον· καὶ τὸν πλεῖσον φθόρον τῦτο ἐνεποίει· εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλος προσιέναι, ἀπώλλυντο ἔρημοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο· καὶ μάλισα οἱ ἀρετῆς τὶ μεταποιέμενοι. αἰσχύνῃ γὰρ ἠφείδεν σφῶν αὐτῶν, ἐσιόντες παρὰ τὲς φίλες, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τῦ πολλῦ κακῦ νικώμενοι, ἐπιπλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονέμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε, καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι. δὶς γὰρ τὸν αὐτὸν, ὥσε καὶ κτείνειν, ἐκ ἐπελάμβανε. καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ, καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τί εἶχον κέφης, μηδ᾽ ἂν ὑπ᾽ ἄλλε νοσήματος ποτὲ ἔτι διαφθαρῆναι.

6. Ἐπίεσε δ᾽ αὐτὲς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄσυ, καὶ ἐχ ἧσσον τὲς ἐπελθόντας. οἰκιῶν γὰρ ἐχ ὑπαρχεσῶν, ἀλλ᾽ ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτες διαιτωμένων, ὁ φθόρος ἐγίγνετο, ἐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ᾽ ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο· καὶ ἐν ταῖς ὁδοῖς ἐκακινδῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας, ἡμιθνῆτες, τῇ τῦ ὕδατος ἐπιθυμίᾳ. τά τε ἱερὰ, ἐν οἷς ἐσκήνηντο,

ἐσκήνηντο, νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων. ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅ, τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως· νόμοι τε πάντες συνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς. ἔθαπτον δὲ ὡς ἕκαστος ἠδύνατο. καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο, σπάνει τῶν ἐπιτηδείων, διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν. ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας, φθάσαντες τοὺς νήσαντας, οἱ μὲν, ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν ὑφῆπτον, οἱ δὲ, καιομένου ἄλλου, ἄνωθεν ἐπιβαλόντες ὃν φέροιεν, ἀπήεσαν.

7. Πρῶτόν τε ἦρξε καὶ ἐς τἄλλα τῇ πόλει ἐπιπλέον ἀνομίας τὸ νόσημα· ῥᾷον γὰρ ἐτόλμα τὶς ἃ πρότερον ἀπεκρύπτετο, μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων. ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ, οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθαρήσεται· ὅ, τι δὲ ἤδει τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸν κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. θεῶν δὲ φόβος, ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε· τὸ μὲν, κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ, ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους· τῶν δὲ ἁμαρτημά-

των

τῶν οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι· πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι.

8. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς ἔξω δηουμένης. ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνησθήσαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι, "Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ." ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν. ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκότως, λοιμὸν εἰρῆσθαι. οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον, τὴν μνήμην ἐποιοῦντο. ἢν δέ γε, οἶμαι, ποτὲ ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος, καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν, ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. περὶ μὲν οὖν τοῦ χρηστηρίου, τὰ γιγνόμενα εἴκαζον ὅμοια εἶναι. ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων, ἡ νόσος ἤρξατο εὐθύς. καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ, τι καὶ ἄξιον εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

Ἐκ τῆς ΘΟΥΚΥΔΙ'ΔΟΥ ΞΥΓΓΡΑΦΗ̃Σ.

Ἡ τοῦ Νικίου καὶ τοῦ Δημοσθένους ἐν Σικελίᾳ ξυμφορά.

ΜΕΤΑ' δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει ἱκανῶς παρασκευάσασθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ στρατεύματος τρίτη ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τὶς ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο. καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν, καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι, ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες, καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴτινά που τὶς ἴδοι ἢ ἑταίρων, ἢ οἰκείων· τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες ὅσον δύναιντο. εἴτῳ δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι, ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ, μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε, καὶ μείζω ἢ κατὰ δάκρυα,

τὰ

τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μή τι πάθωσι. κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅ, τι τὶς ἐδύνατο, κατὰ τὸ χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς, παρὰ τὸ εἰωθὸς, αὐτοί τε καὶ τὰ σφέτερα αὐτῶν σιτία, ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν, ἀπορίᾳ ἀκολούθων, οἱ δε, ἀπιστίᾳ. ἀπηυτομολήκεσαν γὰρ πάλαι τε, καὶ οἱ πλεῖστοι παραχρῆμα. ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά. σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ. καὶ μὴν ἡ ἄλλη αἰκία, καὶ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κοῦφισιν, οὐδ' ὣς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο. ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο. μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο τῷ Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν, αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι ξυνέβη ἀπιέναι· ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι· πεζοὺς δὲ ἀντὶ ναυβατῶν πορευομένους, καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ. ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.

 2. Ὁρῶν

2. Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν, καὶ ἐν μεγάλῃ μεταβολῇ ὄν, ἐπιπαριών, ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις καθ' οὓς γίγνοιτο, ὑπὸ προθυμίας, καὶ βουλόμενος ὡς ἐπιπλεῖστον γεγωνίσκων ὠφελεῖν.

3. "Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν. ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν. μηδὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς, μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων, (ἀλλ' ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου) οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερος του εἶναι κατὰ τὸν ἴδιον βίον, καὶ ἐς τὰ ἄλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνεπίφθονα. ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θαρσεῖα τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὲ φοβοῦσι· τάχα δ' ἂν καὶ λωφήσειαν. ἱκανὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται, καὶ εἴτῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. ἦλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ ἀνθρώπεια δράσαντες, ἀνεκτὰ ἔπαθον· καὶ ἡμᾶς εἰκὸς νῦν τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν. (οἴκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου) καὶ ὁρῶντες ὑμᾶς αὐτοὺς, οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε, μὴ καταπεπλῆχθε

καταπεπλῆχθε ἄγαν· λογίζεσθε δὲ ὅτι αὐτοί τε πόλις εὐθὺς ἐστὲ, ὅποι ἂν καθέζοισθε, καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως, οὐδ' ἂν ἱδρυθέντας που ἐξαναστήσειε. τὴν δὲ πορείαν ὥστ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι αὐτοὶ φυλάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος, ἢ, ἐν ᾧ ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. σπουδὴ δὲ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ. τὰ γὰρ ἐπιτήδεια βραχέα ἔχομεν· καὶ ἢν ἀντιλαβώμεθα τοῦ φιλίου χωρίου τῶν Σικελῶν, (οὗτοι γὰρ ἡμῖν διὰ τὸ Συρακουσίων δέος ἔτι βέβαιοί εἰσι ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι. προπέμπετε δ' ὡς αὐτοὺς, καὶ ἀπαντᾷν εἰρημένον, καὶ σιτία ἄλλα κομίζειν. τὸ δὲ ξύμπαν, γνῶτε, ὦ ἄνδρες στρατιῶται, ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε, καὶ ἢν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως, καίπερ πεπτωκυῖαν, ἐπανορθώσοντες. ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη, οὐδὲ νῆες ἀνδρῶν κεναί."

4. Ὁ μὲν Νικίας, τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στράτευμα, καὶ εἴπη ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν, ξυνάγων καὶ καθιστάς· καὶ ὁ Δημοσθένης, οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον τοῦ Νικίου, ἐφεπόμενον δὲ, τοῦ Δημοσθένους· τοὺς δὲ

σκευοφόρους

σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται. καὶ ἐπειδή τε ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακουσίων καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου, ἐχώρουν ἐς τὸ πρόσθεν. οἱ δὲ Συρακούσιοι, παριππεύοντές τε προσέκειντο, καὶ ἐσακοντίζοντες οἱ ψιλοί. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς τεσσαράκοντα, ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ, πρωῒ ἐπορεύοντο, καὶ προῆλθον ὡς εἴκοσι σταδίους· καὶ κατέβησαν ἐς χωρίον ἀπεδόν τι, καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον (ᾠκεῖτο γὰρ ὁ χῶρος) καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν. ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν. οἱ δὲ Συρακούσιοι ἐν τούτῳ προελθόντες, τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον. ἦν δὲ λόφος καρτερὸς, καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης· ἐκαλεῖτο δὲ Ἀκραῖον λέπας. τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῄεσαν, καὶ οἱ τῶν Συρακουσίων καὶ ξυμμάχων αὐτοὺς ἱππεῖς καὶ ἀκοντισταὶ ὄντες πολλοὶ ἑκάτεροι ἐκώλυον, καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον, καί τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον. οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν ἀπὸ τῶν ἱππέων.

5. Πρωῒ

ε. Πρωῒ δὲ ἄραντες, ἐπορεύοντο αὖθις, καὶ ἐξεβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον· καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην ἐπ' ὀλίγων ἀσπίδων. στενὸν γὰρ ἦν τὸ χωρίον. καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, (διϊκνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν) καὶ οὐ δυνάμενοι βιάσασθαι, ἀνεχώρουν πάλιν, καὶ ἀνεπαύοντο. ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι, καὶ ὕδωρ, οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι, ἀφ' ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν, καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι. ἀναπαυομένων δὲ αὐτῶν, ὁ Γύλιππος καὶ οἱ Συρακούσιοι πέμπουσι μέρος τι τῆς στρατιᾶς, ἀποτειχιοῦντας ἐκ τοῦ ὄπισθεν αὐτοὺς ᾗ προσεληλύθεσαν. ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινάς, διεκώλυσαν. καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι, ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ προὐχώρουν. καὶ οἱ Συρακούσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ, καὶ πολλοὺς κατετραυμάτιζον. καὶ εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν· εἰ δ' ἀναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴπως κατὰ βραχὺ τρεψάμενοι, πᾶν τὸ στράτευμα φοβήσειαν. καὶ ἐπιπολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι. ἔπειτα προελθόντες πέντε ἢ ἓξ σταδίους, ἀνεπαύοντο ἐν τῷ πεδίῳ. ἀνεχώρησαν δὲ καὶ οἱ Συρακούσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

ϛ. Τῆς

6. Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, (ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε, τῶν τε ἐπιτηδείων πάντων ἀπορία ἤδη, καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ, ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις) πυρὰ καύσαντες ὡς πλεῖστα ἀπάγειν τὴν στρατιὰν, μηκέτι τὴν αὐτὸν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακούσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν· ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας, τὸ πρὸς Καμάριναν καὶ Γέλαν, καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. καύσαντες οὖν πυρὰ πολλὰ, ἐχώρουν ἐν τῇ νυκτί. καὶ αὐτοῖς (οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας, καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν) ἐμπίπτει ταραχή. καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε καὶ προὔλαβε πολλῷ· τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ τὸ πλέον ἀπεσπάσθη τε, καὶ ἀτακτότερον ἐχώρει. ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρινὴν καλουμένην, ἐπορεύοντο, ὅπως ἐπειδὴ γένοιντο παρὰ τῷ ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας. ἤλπιζον γὰρ καὶ τοὺς Σικελοὺς ταύτῃ, οὓς μετέπεμψαν, ἀπαντήσεσθαι. ἐπεὶ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακουσίων ἀποτειχίζουσαν καὶ ἀποσταυροῦ-

ἐταιρῦσαν τὸν πόρον. καὶ βιασάμενοι αὐτὴν, διέβησάν τε τὸν ποταμὸν, καὶ ἐχώρυν αὖθις πρὸς ἄλλον ποταμὸν τὸν Ἐρινεόν. ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.

7. Ἐν τούτῳ δ' οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο, καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον, ἑκόντα ἀφεῖναι τοὺς Ἀθηναίους· καὶ κατὰ τάχος διώκοντες, ᾗ οὐ χαλεπῶς ᾐσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι περὶ ἀρίστου ὥραν. καὶ ὡς προσέμιξαν τοῖς μετὰ τοῦ Δημοσθένους, ὑστέροις τε οὖσι, καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προσπεσόντες ἐμάχοντο. καὶ οἱ ἱππεῖς τῶν Συρακουσίων ἐκυκλοῦντό τε ῥᾷον αὐτοὺς, δίχα δὴ ὄντας, καὶ ξυνῆγον ἐς ταυτό· τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν ἑκατὸν καὶ πεντήκοντα σταδίους. θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε, νομίζων οὐ τὸ ὑπομένειν ἐν τῷ τοιούτῳ ἑκόντας εἶναι, καὶ μάχεσθαι, σωτηρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομένους ὅσα ἀναγκάζονται· ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν πόνῳ τε ξυνεχεστέρῳ ὢν, διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐτῷ ἐπικεῖσθαι τοὺς πολεμίους· καὶ τότε γνοὺς τοὺς Συρακουσίους διώκοντας, οὐ προὐχώρει μᾶλλον ἢ ἐς μάχην ξυνετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦταί τε ὑπ' αὐτῶν, καὶ πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ Ἀθηναῖοι ἦσαν. ἀνειληθέντες γὰρ ἔς τι χωρίον, ᾧ κύκλῳ μὲν τειχίον περιῆν, (ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν,)

ἐλαίας δὲ ὀκ ὀλίγας εἶχεν, ἐβάλλοντό τε περιεςαδόν. τοιαύταις δὲ προσβολαῖς, καὶ ὀ ξυςαδὸν μάχαις, οἱ Συρακόσιοι εἰκότως ἐχρῶντο. τὸ γὰρ ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους, ὀ πρὸς ἐκείνων μᾶλλον ἦν ἔτι ἢ πρὸς τῶν Ἀθηναίων· καὶ ἅμα φειδώ τε τὶς ἐγένετο ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ μὴ προαναλωθῆναί τῳ, καὶ ἐνόμιζον καὶ ὣς ταύτῃ τῇ ἰδέᾳ καταδαμασάμενοι λήψεσθαι αὐτούς.

8. Ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες πανταχόθεν, τοὺς Ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη τεταλαιπωρημένους τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει, κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, πρῶτον μὲν τῶν νησιωτῶν εἴτις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπίεναι· καὶ ἀπεχώρησαν τινὲς πόλεις ὀ πολλαί. ἔπειτα δ' ὕςερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μετὰ Δημοσθένους ὁμολογία γίγνεται, ὥστε ὅπλα τε παραδοῦναι, καὶ μὴ ἀποθανεῖν μηδένα, μήτε βιαίως, μήτε δεσμοῖς, μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης. καὶ παρέδοσαν οἱ πάντες σφᾶς αὐτοὺς ἑξακισχίλιοι, καὶ τὸ ἀργύριον ὃ εἶχον ἅπαν κατέθεσαν, ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας, καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας. καὶ τούτους μὲν εὐθὺς ἀπεκόμισαν ἐς τὴν πόλιν· Νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ ἀφικνοῦνται αὐτῇ τῇ ἡμέρᾳ ἐπὶ τὸν ποταμὸν τὸν Ἐρινεὸν, καὶ διαβὰς πρὸς μετέωρόν τι ἐκάθισε τὴν ςρατιάν.

9. Οἱ

9. Οἱ δὲ Συρακούσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν, ἔλεγον, ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώκοιεν σφᾶς αὐτοὺς, κελεύοντες κἀκεῖνον τὸν αὐτὸ δρᾷν. ὁ δ' ἀπιστῶν σπένδεται ἱππέα πέμψαι σκεψόμενον. ὡς δ' οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπικηρυκεύεται Γυλίππῳ καὶ Συρακουσίοις εἶναι ἕτοιμος ὑπὲρ Ἀθηναίων ξυμβῆναι, ὅσα ἀνάλωσαν χρήματα Συρακούσιοι ἐς τὸν πόλεμον, ταῦτα ἀποδοῦναι, ὥστε τὴν μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς. μέχρις οὗ δ' ἂν τὰ χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους, ἕνα κατὰ τάλαντον. οἱ δὲ Συρακούσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς λόγους, ἀλλὰ προσπεσόντες, καὶ περιστάντες πανταχόθεν, ἔβαλλον καὶ τούτους μέχρι ὀψέ. εἶχον δὲ καὶ οὗτοι πονήρως σίτου τε καὶ τῶν ἐπιτηδείων ἀπορίᾳ. ὅμως δὲ τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον ἔμελλον πορεύσεσθαι· καὶ αναλαμβάνουσί τε τὰ ὅπλα, καὶ οἱ Συρακούσιοι αἰσθάνονται, καὶ ἐπαιώνισαν. γνόντες δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνουσι, κατέθεντο πάλιν, πλὴν τριακοσίων μάλιστα ἀνδρῶν. οὗτοι δὲ διὰ τῶν φυλάκων βιασάμενοι, ἐφώρουν τῆς νυκτὸς ᾗ ἐδύναντο.

10. Νικίας δὲ, ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς

πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν τι σφίσιν ἔσεσθαι ἢν διαβῶσι τὸν ποταμόν· ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας, καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐσπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τέ τις διαβῆναι πρῶτος βουλόμενος. καὶ οἱ πολέμιοι ἐπικείμενοι, χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν. ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν, ἐπέπιπτόν τε ἀλλήλοις, καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ, ἐμπαλασσόμενοι κατέρρεον. ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακούσιοι (ἦν δὲ κρημνῶδες) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους, καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον· καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ᾑματωμένον, καὶ περιμάχητον ἦν τοῖς πολλοῖς.

11. Τέλος δὲ, νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ ποταμῷ, καὶ διεφθαρμένου τοῦ στρατεύματος, τοῦ μὲν, κατὰ τὸν ποταμὸν, τοῦ δὲ, καὶ εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, ὁ Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι, πιστεύσας μᾶλλον αὐτῷ ἢ τοῖς Συρακουσίοις. καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖνόν τε καὶ Λακεδαιμονίους ὅ, τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι φονεύοντας. καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζω-

γρεῖν ἤδη ἐκέλευε, καὶ τοὺς τε λοιποὺς, ὅσους μὴ ἀπεκρύψαντο, (πολλοὶ δὲ οὗτοι ἐγένοντο) ξυνεκόμισαν ζῶντας, καὶ ἐπὶ τοὺς τριακοσίους οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτὸς, πέμψαντες τοὺς διωξομένους, ξυνέλαβον. τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν, οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν, πολύ· καὶ κατεπλήσθη πᾶσα Σικελία αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως, ὥσπερ τῶν μετὰ Δημοσθένους, ληφθέντων. μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανε. πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. καὶ ἐν ταῖς ἄλλαις προσβολαῖς ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις οὐκ ὀλίγοι ἐτεθνήκεσαν· πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν, καὶ παραυτίκα, οἱ δὲ, καὶ δουλεύσαντες, καὶ διαδιδράσκοντες ὕστερον. τούτοις δ᾽ ἦν ἀναχώρησις ἐς Κατάνην.

12. Ξυναθροισθέντες δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, τῶν τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους καὶ τὰ σκύλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων ὁπόσους ἔλαβον, κατεβίβασαν ἐς τὰς Λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τὴν τήρησιν· Νικίαν δὲ καὶ Δημοσθένην, ἄκοντος Γυλίππου ἀπέσφαξαν. ὁ γὰρ Γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζεν οἱ εἶναι, ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις. ξυνέβαινε δὲ, τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι, Δημοσθένην, διὰ τὰ ἐν τῇ νήσῳ καὶ Πύλῳ· τὸν δὲ, διὰ τὰ

αὐτὰ

αὐτὰ ἐπιτηδειότατον. τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας τῶν Λακεδαιμονίων ὁ Νικίας προὐθυμήθη, σπονδὰς πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥστε ἀφεθῆναι. ἀνθ' ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς, κἀκεῖνος οὐχ ἥκιστα πιστεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέδωκεν. ἀλλὰ τῶν Συρακουσίων τινὲς (ὡς ἐλέγετο) οἱ μὲν, δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτον ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δὲ (καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι) μὴ χρήμασι πείσας τινὰς (ὅτι πλούσιος ἦν) ἀποδρᾷ, καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντές τε τοὺς ξυμμάχους, ἀπέκτειναν αὐτόν. καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι, διὰ τὴν νενομισμένην ἐς τὸ θεῖον ἐπιτήδευσιν.

13. Τοὺς δ' ἐν ταῖς λιθοτομίαις οἱ Συρακούσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας πολλοὺς οἵ τε ἥλιοι τοπρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει, διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ, τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον· πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ, καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε τῶν τραυμάτων, καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοὶ, καὶ λιμῷ ἅμα καὶ δίψει ἐπιέζοντο. ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ


ὀκτὼ

ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου· ἄλλα τε ὅσα εἰκὸς ἐν τῷ τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅ, τι οὐκ ἐπεγένετο αὐτοῖς. καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διῃτήθησαν ἀθρόοι· ἔπειτα, πλὴν Ἀθηναίων, καὶ εἴτινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων. ξυνέβη τε ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι· δοκεῖν δ' ἔμοιγε, καὶ ὧν ἀκοῇ Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον, καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον. κατὰ πάντα γὰρ πάντως νικηθέντες, καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ, τὸ λεγόμενον, καὶ πεζὸς καὶ νῆες, καὶ οὐδὲν ὅ, τι οὐκ ἀπώλετο· καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν. ταῦτα μὲν τὰ περὶ τὴν Σικελίαν γενόμενα.

14. Ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπιπολὺ μὲν ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν, ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγόσι, καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω γε ἂν πασσυδεὶ διεφθάρθαι· ἐπειδὴ δὲ ἔγνωσαν, χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, ὥσπερ οὐκ αὐτοὶ ψηφισάμενοι, ὠργίζοντο δὲ καὶ τοῖς χρησμολόγοις τε καὶ μάντεσι, καὶ ὁπόσοι τι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν. πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε, καὶ περιειστήκει ἐπὶ τῷ γεγενημένῳ φόβος τε καὶ κατά-

πληξις

πληξις μεγίςη δή. ἅμα μὲν γὰρ ςερόμενοι καὶ ἰδίᾳ ἕκαςος καὶ ἡ πόλις ὁπλιτῶν τε πολλῶν καὶ ἱππέων, καὶ ἡλικίας οἵαν ἐχ ἑτέραν ἑώρων ὑπάρχεσαν, ἐβαρύνοντο· ἅμα δὲ ναῦς ἐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανὰς, ἐδὲ χρήματα ἐν τῷ κοινῷ, ἐδ' ὑπηρεσίας ταῖς ναυσὶν, ἀνέλπιςοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι. τὲς τε ἀπὸ τῆς Σικελίας πολεμίες εὐθὺς σφίσιν ἐνόμιζον τῷ ναυτικῷ ἐπὶ τὸν Πειραιᾶ πλευσεῖσθαι, ἄλλως τε καὶ τοσῦτον κρατήσαντας, καὶ τὲς αὐτόθεν πολεμίες, τότε δὴ καὶ διπλασίως πάντα παρεσκευασμένες, κατὰ κράτος ἤδη καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης ἐπικείσεσθαι, καὶ τὲ ξυμμάχες σφῶν μετ' αὐτῶν ἀποςάντας. ὅμως δὲ, ὡς ἐκ τῶν ὑπαρχόντων, ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύνωνται ξύλα ξυμπορισαμένες καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ μάλιςα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τὶ ἐς εὐτέλειαν σωφρονίσαι· καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς ᾖ προβελεύσεσι. πάντα τε πρὸς τὸ παραχρῆμα περιδεὲς (ὅπερ φιλεῖ δῆμος ποιεῖν) ἕτοιμοι ἦσαν εὐτακτεῖν· καὶ ὡς ἔδοξεν αὐτοῖς, καὶ ἐποίεν ταῦτα, καὶ τὸ θέρος ἐτελεύτα.



PARS III.

Ex XENOPHONTE.

ἈΡΜΕΝΙΟΣ καὶ ΤΙΓΡΑΝΗΣ παρὰ Κύρῳ.

Ἐκ τῆς Ξενοφῶντος Κύρου παιδ. γ΄.

Ὁ Ἀρμένιος, Πρὸς τῶν θεῶν, ὦ Κῦρε, νόμιζε, ἔφη, ἃ ἂν καταλίπῃς, μηδὲν ἧττον σὰ εἶναι ὧν ἂν ἔχων ἀπίῃς. Εἶεν, ἔφη ὁ Κῦρος· ὥστε δὲ τὴν γυναῖκα ἀπολαβεῖν πόσα ἄν μοι χρήματα δώης; ὁπόσα ἂν δυναίμην, ἔφη. τί δέ, ὥστε τοὺς παῖδας; καὶ ἀντὶ τούτων, ἔφη, ὁπόσα ἂν δυναίμην. οὐκοῦν, ἔφη ὁ Κῦρος, ταῦτα μὲν ἤδη διπλάσια τῶν ὄντων. Σὺ δέ, ἔφη, ὦ Τιγράνη, λέξον μοι ὁπόσου ἂν πρίαιο, ὥστε τὴν γυναῖκα ἀπολαβεῖν. (ὁ δὲ ἐτύγχανε νεόγαμός τε ὤν, καὶ ὑπερφιλῶν τὴν γυναῖκα.) ἐγὼ μέν, ἔφη, ὦ Κῦρε, κἂν τῆς ψυχῆς πριαίμην, ὥστε μήποτε λατρεῦσαι ταύτην. σὺ μὲν τοίνυν, ἔφη, ἀπάγου τὴν σήν. οὐδὲ γὰρ εἰλῆφθαι ἔγωγε αἰχμάλωτον ταύτην νομίζω, σοῦ γε μὴ πώποτε φυγόντος ἡμᾶς. καὶ σὺ δέ, ὦ Ἀρμένιε, ἀπάγου τήν τε γυναῖκα καὶ τοὺς παῖδας,

μηδὲν αὐτῶν καλαθείς· ἵνα εἰδῶσιν ὅτι ἐλεύθεροι πρὸς σε ἀπέρχονται. καὶ νῦν μὲν, ἔφη, δειπνεῖτε παρ' ἡμῖν· δειπνήσαντες δὲ ἀπελαύνετε ὅπȣ ὑμῖν θυμός. Οὕτω δὴ κατέμειναν.

2. Διασκηνȣ́ντων δὲ μετὰ τὸ δεῖπνον, ἐπήρετο ὁ Κῦρος, Εἰπέ μοι, ἔφη, ὦ Τιγράνη, πȣ̃ δὴ ἐκεῖνός ἐστιν ὁ ἀνὴρ, ὃς συνεθήρα ἡμῖν· καὶ σύ μοι μάλα ἐδόκεις θαυμάζειν αὐτόν. Οὐ γὰρ, ἔφη, ἀπέκτεινεν αὐτὸν ȣ̔τοσὶ ὁ ἐμὸς πατήρ; Τί λαβὼν ἀδικȣ̃ντα; Διαφθείρειν αὐτὸν ἔφη ἐμέ. Καίτοι, ὦ Κῦρε, ȣ̔́τω καλὸς κἀγαθὸς ἦν ἐκεῖνος, ὡς καὶ ὅτε ἀποθνήσκειν ἔμελλε, προσκαλέσας με εἶπε, Μή τι σὺ, ὦ Τιγράνη, ἔφη, ὅτι ἀποκτενεῖ με, χαλεπήνῃς τῷ πατρί· ȣ̓ γὰρ κακονοίᾳ τινὶ τȣ̃το ποιεῖ, ἀλλ' ἀγνοίᾳ· ὁπόσα δὲ ἀγνοίᾳ ἄνθρωποι ἐξαμαρτάνȣσι, πάντα ἀκȣ́σια ταῦτ' ἔγωγε νομίζω. Ὁ μὲν δὴ Κῦρος ἐπὶ τȣ́τοις εἶπε, Φεῦ τȣ̃ ἀνδρός. Ὁ δὲ, Ἀρμένιος ἔφη, Ἐγὼ ἐκείνῳ ἐφθόνησα, ὅτι μοι ἐδόκει τὸν ἐμὸν υἱὸν ποιεῖν αὐτὸν μᾶλλον θαυμάζειν ἢ ἐμέ. Καὶ ὁ Κῦρος εἶπεν, Ἀλλὰ ναὶ μὰ τȣ̀ς θεȣ̀ς, ἔφη, ὦ Ἀρμένιε, ἀνθρώπινά μοι δοκεῖς ἁμαρτεῖν· καὶ σὺ, ὦ Τιγράνη, συγγίνωσκε τῷ πατρί. Τότε μὲν δὴ τοιαῦτα διαλεχθέντες καὶ φιλοφρονηθέντες, ὥσπερ εἰκὸς, ἐκ συναλλαγῆς, ἀναβάντες ἐπὶ τὰς ἁρμαμάξας σὺν ταῖς γυναιξὶν, ἀπήλαυνον εὐφραινόμενοι.

3. Ἐπεὶ

3. Ἐπεὶ δ' ἦλθον οἴκαδε, ἔλεγον τȣ̃ Κύρȣ ὁ μέν τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πρᾳότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος. Ἔνθα δὴ ὁ Τιγράνης ἐπήρετο τὴν γυναῖκα, καί σοι, ἔφη, ὦ Ἀρμενία, καλὸς ἐδόκει ὁ Κῦρος εἶναι; Ἀλλὰ μὰ Δί', ἔφη, ȣ̓κ ἐκεῖνον ἐθεώμην. Ἀλλὰ τίνα μήν; ἔφη ὁ Τιγράνης. Τὸν εἰπόντα νὴ Δία, ὡς τῆς αὐτȣ̃ ψυχῆς ἂν πρίαιτο, ὥστε μή με δȣλεύειν. Τότε μὲν δὴ, ὥσπερ εἰκὸς, ἐκ τοιȣ́των ἀνεπαύοντο σὺν ἀλλήλοις.

ΠΑ'ΝΘΕΙΑ, ἐκ τῆς ΞΕΝΟΦΩ'ΝΤΟΣ ΚΥ'ΡΟΥ ΠΑΙΔΕΙ'ΑΣ.

ΚΑΛΕ'ΣΑΣ δὲ ὁ Κῦρος Ἀράσπην Μῆδον, (ὃς ἦν αὐτῷ ἐκ παιδὸς ἑταῖρος, ᾧ καὶ τὴν στολὴν ἐκδὺς ἔδωκε τὴν Μηδικὴν, ὅτε παρὰ Ἀστυάγȣς εἰς Πέρσας ἀπῄει) τȣ̃τον ἐκέλευσε διαφυλάξαι αὐτῷ τήν τε γυναῖκα καὶ τὴν σκηνήν· ἦν δὲ αὕτη, ἡ γυνὴ Ἀβραδάτα τȣ̃ Σȣ́σων βασιλέως· ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς ȣ̓κ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὢν, ἀλλὰ πρὸς τὸν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο· ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ συμμαχίας· ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτριανῶν βασιλεῖ· ταύτην ȣ̓̃ν ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπην, ἕως ἂν αὐτὸς λάβῃ. Κελευόμενος δὲ ὁ Ἀράσπης ἐπήρετο, Ἑώρακας δ' ἔφη, ὦ Κῦρε,

τῆς γυναῖκα, ἥν με κελεύεις φυλάττειν; Μὰ Δί', ἔφη ὁ Κῦρος, ἐκ ἔγωγε. Ἀλλ' ἐγὼ, ἔφη, ἡνίκα ἐξῃρέμην σοι αὐτήν· καὶ δῆτα ὅτε μὲν εἰσήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς τὸ πρῶτον, ἐ διέγνωμεν αὐτήν· (χαμαί τε γὰρ ἐκάθητο, καὶ αἱ θεράπαιναι πᾶσαι περὶ αὐτήν· καὶ τοίνυν ὁμοίαν ταῖς δέλαις εἶχε τὴν ἐσθῆτα) ἐπεὶ δὲ, γνῶναι βελόμενοι ποία εἴη ἡ δέσποινα, πάντας περιεβλέψαμεν, ταχὺ πάνυ καὶ πασῶν ἐφαίνετο διαφέρεσα τῶν ἄλλων, καίπερ καθημένη, κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. Ὡς δὲ ἀναστῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ πᾶσαι αἱ ἀμφ' αὐτήν· διήνεγκε δὲ ἐνταῦθα, πρῶτον μὲν, τῷ μεγέθει, ἔπειτα δὲ, τῇ ῥώμῃ, καὶ τῇ ἀρετῇ, καὶ τῇ εὐσχημοσύνῃ, καίπερ ἐν ταπεινῷ σχήματι ἑστηκυῖα. Δῆλα δ' ἦν αὐτῇ καὶ τὰ δάκρυα καταστάζοντα τὰ μὲν κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τὲς πόδας. Ὡς δ' ἡμῶν ὁ γεραίτερος εἶπε, Θάρρει, ὦ γύναι· καλὸν μὲν γὰρ καὶ ἀγαθὸν ἀκέομεν καὶ τὸν σὸν ἄνδρα εἶναι, νῦν μέντοι ἐξαιρέμεν ἀνδρί σε εὖ ἴσθι ὅτι ἔτε τὸ εἶδος ἐκείνε χείρονι, ἔτε τὴν γνώμην, ἔτε τὴν δύναμιν· ἀλλ', ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνὴρ, καὶ ὁ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι, ὃ σὺ ἔσῃ τὸ ἀπὸ τέδε. Ὡς ἐν τέτο ἤκεσεν ἡ γυνὴ, περικατερρήξατό τε τὸν ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ αὐτῇ καὶ αἱ δμωαί. Ἐν τέτῳ δ' ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τὲ προσώπε, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες· καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς

ἄλλοις

ἄλλοις πᾶσι τοῖς ἴδȣσι μήπω φῦναι μηδὲ γενέσθαι γυναῖκα ἀπὸ θνητῶν τοιαύτην ἐν τῇ Ἀσίᾳ· ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θεάσῃ αὐτήν. Καὶ ὁ Κῦρος ἔφη, Ναὶ μὰ Δία, πολύ γε ἧττον, εἰ τοιαύτη ἐστὶν οἵαν σὺ λέγεις. Τί δαί; ἔφη ὁ νεανίσκος. Ὅτι, ἔφη, καὶ νῦν σȣ̃ ἀκȣ́σας ὅτι καλή ἐστιν, εἰ πεισθήσομαι ἐλθεῖν θεασόμενος, ȣ̓ πάνυ μοι σχολῆς ȣ̓́σης, δέδοικα μὴ πολὺ θᾶττον ἐκείνη με αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν θεασόμενον· ἐκ δὲ τȣ́τȣ ἴσως ἂν ἀμελήσας ὧν μεδεῖ πράττειν, καθοίμην ἐκείνην θεώμενος.

2. Ὁ δὲ νεανίσκος, ἅμα μὲν ὁρῶν ὑπερκαλλῆ τὴν γυναῖκα, ἅμα δὲ αἰσθόμενος τὴν καλοκἀγαθίαν αὐτῆς, ἅμα δὲ θεραπεύων αὐτὴν, καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ, ἅμα δὲ αἰσθανόμενος ȣ̓κ ἀχάριστον ȣ̓̃σαν, ἀλλ' ἀντεπιμελȣμένην διὰ τῶν αὐτῆς οἰκετῶν ὡς καὶ εἰσιόντι εἴη αὐτῷ τὰ δέοντα, καὶ, εἴ ποτε ἀσθενήσειεν, ὡς μηδενὸς ἂν δέοιτο· ἐκ πάντων τȣ́των ἡλίσκετο ἔρωτι, καὶ ἴσως ȣ̓δὲν θαυμαστὸν ἔπασχε. Καὶ ταῦτα μὲν δὴ ȣ̔́τως ἐπράττετο.

3. Ἡ δὲ Πάνθεια, ὡς ᾔσθετο οἰχόμενον τὸν Ἀράσπαν, πέμψασα πρὸς τὸν Κῦρον εἶπε, Μὴ λυπȣ̃, ὦ Κῦρε, ὅτι Ἀράσπας οἴχεται εἰς τȣ̀ς πολεμίȣς· ἐὰν γὰρ ἐμὲ ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι ἥξειν πολὺ Ἀράσπȣ πιστότερόν σοι φίλον·

καὶ

καὶ δύναμιν δὲ οἶδ' ὅτι ὁπόσην ἂν δύνηται ἔχων παρέσται σοι. Καὶ γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ δὲ νῦν βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπάσαι ἀπ' ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν, οἶδ' ὅτι ἀσμένως ἂν πρὸς ἄνδρα οἷος σὺ εἶ ἀπαλλαγείη. Ἀκούσας ταῦτα ὁ Κῦρος κελεύει πέμπειν πρὸς τὸν ἄνδρα· ἡ δ' ἔπεμψεν. Ὡς δ' ἔγνω ὁ Ἀβραδάτης τὰ παρὰ τῆς γυναίκος σύμβολα, καὶ τἄλλα δὲ ᾔσθετο ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς Κῦρον, ἵππους ἔχων ἀμφὶ τοὺς δισχιλίους. Ὡς δ' ἦν πρὸς τοῖς τῶν Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπὼν ὃς ἦν. Ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα. Ὡς δ' ἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ Ἀβραδάτης, ἠσπάσαντο ἀλλήλους ὡς εἰκὸς ἐκ δυσελπίστου. Ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα καὶ τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. Ὁ δὲ Ἀβραδάτης ἀκούσας εἶπε, Τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀποδιδοίην; Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος ὅμοιος περὶ ἐκεῖνον εἶναι οἷός περ καὶ ἐκεῖνος περὶ σέ;

4. Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτης· καὶ ὡς εἶδεν αὐτὸν, λαβόμενος τῆς δεξιᾶς αὐτοῦ εἶπεν, Ἀνθ' ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω τί μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι καὶ θεράποντα καὶ σύμμαχον· καὶ, ὅσα ἂν ὁρῶ σε

σπουδάζοντα,

ἐπȣδάζοντα, συνεργός σοι πειράσομαι γίγνεσθαι ὡς ἂν δύνωμαι κράτιστος. Καὶ ὁ Κῦρος εἶπεν, Ἐγὼ δὲ δέχομαι· καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν· αὖθις δὲ καὶ παρ' ἐμοὶ δεήσει σε σκηνȣ̃ν σὺν τοῖς σοῖς τι καὶ ἐμοῖς φίλοις.

5. [Μετὰ δὲ ταῦτα, ξύμμαχος ἤδη τῷ Κύρῳ γενόμενος, καὶ σὺν αὐτῷ κατὰ τȣ̀ς πολεμίȣς μαχησόμενος Ἀβραδάτης] εἶπεν, Ἐγώ σοι, ὦ Κῦρε, ἐθελȣ́σιος ὑφίσαμαι τὴν κατὰ πρόσωπον τῆς ἀντίας φάλαγγος τάξιν ἔχειν, εἴ μή τι σοι ἄλλο δοκεῖ. Καὶ ὁ Κῦρος ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐπήρετο τȣ̀ς ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, Ἦ καὶ ὑμεῖς, ἔφη, ταῦτα συγχωρεῖτε; Ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο ὅτι ȣ̓ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτȣ̀ς, καὶ ἔλαχεν Ἀβραδάτης ἧπερ ὑφίστατο, καὶ ἐγένετο κατὰ τȣ̀ς Αἰγυπτίȣς. Τότε μὲν δὴ ἀπιόντες, καὶ ἐπιμεληθέντες ὧν προεῖπον, ἐδειπνοποιȣ̃ντο, καὶ φυλακὰς καταστησάμενοι ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ πρωῒ μὲν ὁ Κῦρος ἐθύετο· ὁ δ' ἄλλος στρατὸς ἀριστήσας καὶ σπονδὰς ποιησάμενος ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππȣς προμετωπιδίοις καὶ προστερνιδίοις· καὶ τȣ̀ς μὲν μονίππȣς παραμηριδίοις, τȣ̀ς δ' ἐπὶ τοῖς ἅρμασι, παραπλευριδίοις· ὥστε ἤστραπτο μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά.

6. Καὶ

6. Καὶ τῷ Ἀβραδάτῃ δὲ τὸ τετράρυμον ἅρμα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. Ἐπεὶ δ᾽ ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν κράνος, καὶ περιβραχιόνια καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς τῶν χειρῶν καὶ χιτῶνα πορφυροῦν, ποδήρη, στολιδωτὸν τὰ κάτω, καὶ λόφον ὑακινθινοβαφῆ. Ταῦτα δὲ ἐποιήσατο, λάθρα τοῦ ἀνδρὸς ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. Ὁ δὲ ἰδὼν ἐθαύμασέ τε, καὶ ἐπήρετο τὴν Πάνθειαν, Σὺ δή που, ὦ γύναι, συγκόψασα τὸν σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποιήσω; Μὰ Δί᾽, ἔφη ἡ Πάνθεια, τόν γε πλείστου ἄξιον· σὺ γὰρ ἐμοίγ᾽, ἢν καὶ τοῖς ἄλλοις φανῇς οἷος ἐμοὶ δοκεῖς εἶναι, μέγιστος κόσμος ἔσῃ. Ταῦτα δὲ λέγουσα ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.

7. Ἐπεὶ δὲ καὶ πρόσθεν ὢν ἀξιοθέατος ὁ Ἀβραδάτης ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης· λαβὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας, παρεσκευάζετο ὡς ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. Ἐν δὲ τούτῳ ἡ Πάνθεια, ὑποχωρῆσαι κελεύσασα τοὺς παρόντας πάντας, ἔλεξεν, "Ἀλλ᾽ ὅτι μὲν, ὦ Ἀβραδάτα, εἴ τις καὶ "ἄλλη πώποτε γυνὴ τὸν αὑτῆς ἄνδρα μεῖζον τῆς ἑαυ"τῆς ψυχῆς ἐτίμησεν, οἶμαί σε γιγνώσκειν ὅτι καὶ "ἐγὼ μία τούτων εἰμί. Τί οὖν με δεῖ καθ᾽ ἓν ἕκα-

"στον

" ςὸν λέγειν; τὰ γὰρ ἔργα οἶμαί σοι πιθανώτερα
" παρεσχῆσθαι τῶν νῦν λεχθένἰων λόγων. Ὅμως δ'
" ὅτως ἔχϐσα πρός σε, ὥσπερ σὺ εἶσθα, ἐπαμνύω σοὶ
" τὴν ἐμὴν καὶ σὴν φιλίαν, ἦ μὴν ἐγὼ βϐλεσθαι ἂν
" μετὰ σϐ ἀνδρὸς ἀγαθϐ γενομένϐ κοινῇ γῆν ἐπιέσα-
" σθαι μᾶλλον, ἢ ζῆν μετ' αἰσχυνομένϐ αἰσχυνομένη·
" ὅτως ἐγὼ καὶ σὲ τῶν καλλίςων καὶ ἐμαυτὴν ἠξίω-
" κα. Καὶ Κύρῳ δὲ δοκῶ μεγάλην τινὰ ἡμᾶς χάριν
" ὀφείλειν, ὅτι με αἰχμάλωἰον γεγενημένην καὶ ἐξαι-
" ρεθεῖσαν ἑαυτῷ, ὅτε με ὡς δϐλην ἠξίωσε κεκἰῆσθαι,
" ὅτε ὡς ἐλευθέραν ἐν ἀτίμῳ ὀνόμαἰι· διεφύλαξε δὴ
" σοὶ ὥσπερ ἀδελφϐ γυναῖκα λαβών. Πρὸς δὲ, καὶ
" ὅτε ὁ Ἀράσπας ἀπέςη αὐτϐ, ὁ ἐμὲ φυλάἰἰων, ὑ-
" πεσχόμην αὐτῷ, εἴ με ἐάσειε πρός σε πέμψαι, ἥξειν
" αὐτῷ σὲ πολὺ Ἀράσπϐ πιςότερον καὶ ἀμείνονα."

8. Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτης ἀγασθεὶς τοῖς λόγοις, καὶ θίγων αὐτῆς τῆς κεφαλῆς, ἀναβλέψας εἰς τὸν ϐρανὸν, ἐπεύξαἰο· Ἀλλ', ὦ Ζεῦ μέγιςε, δός μοι φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρὶ, ἀξίῳ δὲ Κύρϐ φίλῳ τϐ ἡμᾶς τιμήσανἰος. Ταῦτα εἰπὼν κατὰ τὰς θύρας τϐ ἁρμαἰείϐ δίφρϐ ἀνέβαινεν ἐπὶ τὸ ἅρμα. Ἐπεὶ δὲ ἀναβάνἰος αὐτϐ καἰέκλεισε τὸν δίφρον ὁ ὑφηνίοχος, ϐκ ἔχϐσα ἡ Πάνθεια πῶς ἂν ἔτι ἄλλως ἀσπάσαιἰο αὐτὸν, κατεφίλησε τὸν δίφρον· καὶ τῷ μὲν προῄει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθϐσα αὐτὸν συνεφείπεἰο, ἕως ἐπιςραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβραδάτης

δάτης εἶπε, Θάῤῥει Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι ἤδη. Ἐκ τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι λαβοῦσαι αὐτὴν ἀπῆγον εἰς τὴν ἁρμάμαξαν, καὶ κατακλίναντες κατεκάλυψαν τῇ σκηνῇ. Οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος τοῦ θεάματος τοῦ Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτὸν πρὶν ἡ Πάνθεια ἀπῆλθεν.

9. Τῇ δ' ὑστεραίᾳ [μετὰ τὴν νίκην,] καλέσας ὁ Κῦρος τινὰς τῶν παρόντων ὑπηρετῶν, Εἴπατε μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάτην; θαυμάζω γάρ, ἔφη, ὅτι πρόσθεν θαμίζων ἐφ' ἡμᾶς, νῦν οὐδαμοῦ φαίνεται. Τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι, πλὴν τῶν ἑταίρων αὐτοῦ, ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ σίφος εἶδον τὸ τῶν Αἰγυπτίων. Καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ, ἀνελομένη τὸν νεκρὸν, καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ᾗ περ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐτὸν ἐνθάδε πη πρὸς τὸν Πακτωλὸν ποταμόν. Καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται χαμαὶ, κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. Ταῦτα ἀκούσας ὁ Κῦρος ἐπαίσατο ἄρα τὸν μηρὸν, καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας ἤλαυνεν ἐπὶ τὸ πάθος. Γαδάταν δὲ

καὶ

καὶ Γωβρύαν ἐκέλευσεν ὅ, τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι, μεταδιώκειν· καὶ ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας καὶ βοῦς καὶ ἵππους, εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν ὅποι ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτῃ.

10. Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε, Φεῦ ὦ ἀγαθὴ καὶ πιστὴ ψυχὴ, οἴχῃ δὴ ἀπολιπὼν ἡμᾶς· καὶ ἅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν· ἀποκέκοπτο γὰρ κοπίδι ὑπὸ τῶν Αἰγυπτίων. Ὁ δὲ, ἰδὼν, πολύ ἔτι μᾶλλον ἤλγησε· καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη δὴ παρὰ τοῦ Κύρου ἐφίλησέ τε τὴν χεῖρα, καὶ πάλιν ὡς οἷόν τ' ἦν προσήρμοσε. καὶ εἶπε, Καὶ τἆλλα τοι, ὦ Κῦρε, οὕτως ἔχει. Ἀλλὰ τί δεῖ σε ὁρᾷν; Καὶ ταῦτ', ἔφη, οἶδ' ὅτι δι' ἐμὲ οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σὲ, ὦ Κῦρε, οὐδὲν ἧττον. Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη· αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει ὅ, τι πείσοιτο, ἀλλὰ τί ἄν σοι ποιήσας χαρίσαιτο. Καὶ γὰρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη, ζῶσα παρακάθημαι. Καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο, Ἀλλ' οὗτος μὲν δὴ, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε· σὺ δὲ λαβοῦσα

τοῖσδε ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ· (παρῆν δὲ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν καὶ καλὸν κόσμον φέροντες) ἔπειτα δ' ἔφη, ἴσθι ὅτι οὐδὲ τὰ ἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ὑμῶν, καὶ ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. Καὶ σὺ δέ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ σε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἄλλα τιμήσω, καὶ συστήσω ὅστις ἀποκομιεῖ σε ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον πρὸς ὅντινα χρῄζεις κομισθῆναι. Καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θάρρει, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.

11. Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῄει, κατοικτείρων τήν τε γυναῖκα, οἵου ἀνδρὸς στέροιτο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι· (ἕως ἄν, ἔφη, τόνδε ἐγὼ ὀδύρωμαι ὡς βούλομαι) τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. Ἡ δὲ τροφὸς πολλὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε, καὶ χαλεπαίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. Ἡ δὲ ἀκινάκην πάλαι παρεσκευασμένη, σφάττει ἑαυτήν, καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν ἀπέθνησκεν. Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ ἡ Πάνθεια ἐπέστελλεν. Ὁ δὲ Κῦρος, ὡς ᾔσθετο τὸ ἔργον τῆς γυναικός, ἐκπλα-

γείς

γοῦς, ἵεται εἴ τι δύναιτο βοηθῆσαι. Οἱ δὲ εὐνοῦχοι, ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες, σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας, ἀποσφάττονται, οὗπερ ἔταξεν αὐτοὺς ἑστηκότες.

12. Ὁ δὲ Κῦρος, ὡς ἐπλησίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος ἀπῄει· καὶ τούτων μὲν ᾗ εἰκὸς ἐπεμελήθη, ὡς τύχοιεν πάντων τῶν καλῶν καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασιν.

Τὰ τοῦ ΚΥΡΟΥ ἈΠΟΘΝΗΣΚΟΝΤΟΣ.

Ἐκ τῆς ΚΥΡΟΥ ΠΑΙΔ.

ΟΥΤΩ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δὴ, ὥσπερ εἰκὸς, ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἔθυσε τὰ νομιζόμενα ἱερὰ, καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα πᾶσι διέδωκεν, ὥσπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ, ὄναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις ἢ κατὰ ἄνθρωπον, εἰπεῖν, συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέναι ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. Εὐθὺς οὖν λαβὼν ἱερεῖα, ἔθυε Διΐ τε πατρῴῳ

καὶ

καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· "Ζεῦ πατρῷε καὶ "Ἥλιε, καὶ πάντες θεοὶ, δέχεσθε τάδε, καὶ τελεστήρια "πολλῶν καὶ καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι "ἐσημαίνετέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις "καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις ἅ τ' ἐχρῆν ποιεῖν καὶ "ἃ οὐκ ἐχρῆν. Πολλὴ δ' ὑμῖν χάρις ὅτι κἀγὼ ἐγί-"γνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ οὐδεπώποτε ἐπὶ "ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι "δ' ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ "φίλοις καὶ πατρίδι εὐδαιμονίαν· ἐμοὶ δὲ, οἷόν περ "αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦναι."

2. Ὁ μὲν δὴ ταῦτα ποιήσας, καὶ οἴκαδε ἐλθὼν ἔδοξεν ἡδέως ἀναπαύσεσθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει, καὶ ἔπινεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ, καὶ ὄντες ἐν Πέρσαις. Ἐκάλεσε δὲ καὶ τοὺς φίλους, καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων, ἤρχετο τοιοῦδε λόγου·

3. "Παῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φίλοι, "ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· (ἐκ πολ-

"λῶν

" λῶν τȣτο σαφῶς γιγνώσκω) ὑμᾶς δὲ χρὴ, ὅταν
" τελευ]ήσω, ὥσπερ εὐδαίμονος ἐμȣ καὶ λέγειν καὶ
" ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν, τὰ ἐν παι-
" σὶ νομιζόμενα καλὰ, δοκῶ κεκαρπῶσθαι· ἐπεί τε
" ἥϐησα, τὰ ἐν νεανίσκοις· τέλειός τε ἀνὴρ γενόμε-
" νος, τὰ ἐν ἀνδράσι. Σὺν τῷ χρόνῳ τε προϊόν]ι ἀεὶ
" συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκȣν καὶ τὴν ἐμὴν
" δύναμιν ὥςε καὶ τȣμὸν γῆρας ȣδεπώποlε ᾐσθόμην
" τῆς ἐμῆς νεότηlος ἀσθενέςερον γιγνόμενον, καὶ ȣτ'
" ἐπιχειρήσας ȣτ' ἐπιθυμήσας οἶδα ὅτȣ ἠτύχησα.
" Καὶ τȣς μὲν φίλȣς ἐπεῖδον δι' ἐμȣ εὐδαίμονας γενο-
" μένȣς, τȣς δὲ πολεμίȣς ὑπ' ἐμȣ δȣλωθέν]ας· καὶ
" τὴν παlρίδα πρόσθεν ἰδιωlεύȣσαν ἐν τῇ Ἀσίᾳ, νῦν
" προlεlιμημένην καlαλείπω· ὧν τ' ἐκlησάμην ȣδὲν
" οἶδα ὅ, τι ȣ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόν-
" τα χρόνον ἔπραlτον ȣτως, ὥσπερ ηὐχόμην· φόϐος
" δέ μοι συμπαρομαρlῶν μή τι ἐν τῷ ἐπιόν]ι χρόνῳ
" ἢ ἴδοιμι ἢ ἀκȣσαιμι ἢ πάθοιμι χαλεπὸν, ȣκ εἴα
" τελέως μέγα φρονεῖν, ȣδ' εὐφραίνεσθαι ἐκπεπlαμέ-
" νως. Νῦν δ' ἢν τελευlήσω, καlαλείπω μὲν ὑμᾶς,
" ὦ παῖδες, ζῶν]ας, ȣσπερ ἔδοσάν μοι οἱ Θεοὶ γενέ-
" σθαι· καlαλείπω δὲ παlρίδα καὶ φίλȣς εὐδαιμονȣν-
" τας· ὥςε πῶς ȣκ ἂν ἐγὼ δικαίως μακαριζόμενος
" τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι;

4. " Δεῖ δὲ καὶ τὴν βασιλείαν μὲ ἤδη σαφηνίσαν]α
" καlαλιπεῖν· ὡς ἂν μὴ ἀμφίλογος γενομένη πρά-
" γμαlα

" γμαἶα ὑμῖν παράσχῃ. Ἐγὼ δὲ νῦν φιλῶ μὲν ἀμ-
" φοἶέρȣς ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προβȣλεύειν
" καὶ πρὸηγεῖσθαι ἐφ' ὅ, τι ἂν καιρὸς δοκῇ εἶναι, τȣ̃το
" προςάἶἶω τῷ προἶέρῳ γενομένῳ, καὶ πλειόνων κἀἶα
" τὸ εἰκὸς ἐμπείρῳ. Ἐπαιδεύθην δὲ καὶ αὐτὸς ȣ̔́τως
" ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ ὑμεἶέρας παἶρίδος, τοῖς
" πρεσβυἶέροις, ȣ̓ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ πολί-
" ταις, καὶ ὁδῶν καὶ θάκων καὶ λόγων ὑπείκειν· καὶ
" ὑμᾶς δὲ, ὦ παῖδες, ȣ̔́τως ἐξ ἀρχῆς ἐπαίδευον, τȣ̀ς
" μὲν γεραιτέρȣς προτιμᾷν, τῶν δὲ νεωἶέρων προἶε-
" ἶιμῆσθαι.

5. " Ὡς ȣ̔̃ν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα
" λέγονἶος ἐμȣ̃, ȣ̔́τως ἀποδέχεσθε. Καὶ σὺ μὲν, ὦ
" Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόνἶων καὶ
" ἐμȣ̃, ὅσον ἐν ἐμοί· σοὶ δὲ, ὦ Ταναοξάρη, Σαἶρά-
" πην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων, καὶ τρί-
" των Καδȣσίων· ταῦτα δέ σοι διδȣ̀ς, νομίζω ἀρχὴν
" μὲν μείζω καὶ τȣ̔́νομα τῆς βασιλείας τῷ πρεσβυ-
" τέρῳ καἶαλιπεῖν, εὐδαιμονίαν δέ σοι ἀλυποἶέραν.
" Ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ
" ȣ̓χ ὁρῶ· ἀλλὰ πάντα σοι τὰ δοκȣ̃ντα ἀνθρώπȣς
" εὐφραίνειν παρέσαι. Τὸ δὲ δυσκαἶαπρακἶοτέρων
" ἐρᾷν, καὶ τὸ πολλὰ μεριμνᾷν, καὶ τὸ μὴ δύνασθαι
" ἡσυχίαν ἔχειν, κενἶριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ
" ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβȣλεύειν καὶ τὸ ἐπι-
" βȣλεύεσθαι, ταῦτα τῷ βασιλεύονἶι ἀνάγκη σȣ̃ μᾶλ-

" Καὶ

“ λὸν συμπαρομαρτεῖν· ἃ, σάφ' ἴσθι, τοῦ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει. Οἶσθα μὲν οὖν καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· (πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται) ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. Εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; Μὴ οὖν ἃ οἱ ὑφηγηταὶ ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς, μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φιλία.

8. “ Ἀλλὰ πρὸς θεῶν πατρῴων, παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν·

" ȣ̓ γὰρ δήπȣ τȣ̃τό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς
" ȣ̓δὲν ἔσομαι ἐγὼ ἔτι ἐπειδὰν τȣ̃ ἀνθρωπίνȣ βίȣ
" τελευτήσω· ȣ̓δὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑω-
" ρᾶτε, ἀλλ' οἷς διεπράττετο, τȣ́τοις αὐτὴν ὡς ȣ̓̃σαν
" κατεφωρᾶτε. Τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς
" ȣ̓́πω κατενοήσατε οἵȣς μὲν φόϐȣς τοῖς μιαιφόνοις
" ἐμϐάλλȣσιν; οἵȣς δὲ παλαμναίȣς τοῖς ἀνοσίοις ἐπι-
" πέμπȣσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν
" ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι
" ἦσαν; Οὔτοι ἔγωγε, ὦ παῖδες, ȣ̓δὲ τȣ̃το πώποτε
" ἐπείσθην, ὡς ἡ ψυχὴ, ἕως μὲν ἂν ἐν θνητῷ σώματι
" ᾖ, ζῇ· ὅταν δὲ τȣ́τȣ ἀπαλλαγῇ, τέθνηκεν. Ὁρῶ
" γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς
" χρόνον ᾖ ἡ ψυχὴ, ζῶντα παρέχεται. Οὐδέ γε
" ὅπως ἄφρων ἔσται ἡ ψυχὴ, ἐπειδὰν τȣ̃ ἄφρονος σώ-
" ματος δίχα γένηται, ȣ̓δὲ τȣ̃το πέπεισμαι· ἀλλ'
" ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νȣ̃ς ἐκκριθῇ, τότε καὶ
" φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένȣ δὲ
" ἀνθρώπȣ, δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμό-
" φυλον, πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη ȣ̓́τε παρȣ̃σα
" ȣ̓́τε ἀπιȣ̃σα ὁρᾶται. Ἐννοήσατε δὲ, ἔφη, ὅτι ἐγγύ-
" τερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ ȣ̓δέν ἐστιν ὕπνȣ· ἡ
" δὲ τȣ̃ ἀνθρώπȣ ψυχὴ τότε δήπȣ θειοτάτη καταφαί-
" νεται, καὶ τότε τὶ τῶν μελλόντων προορᾷ· τότε γὰρ,
" ὡς ἔοικε, μάλιστα ἐλευθερȣ̃ται. Εἰ μὲν ȣ̓́τως ἔχει
" ταῦτα, ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει
" τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδȣ́μενοι ποιεῖτε
" ἃ ἐγὼ δέομαι.

7. " Εἰ

7. " Εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ " σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄν- " τας, καὶ πάντ' ἐφορῶντας, καὶ πάντα δυναμένους, οἳ " καὶ τὴν τῶν ὅλων τήνδε τάξιν συνέχουσιν ἀτριβῆ καὶ " ἀγήρατον καὶ ἀναμάρτητον, καὶ ὑπὸ κάλλους καὶ με- " γέθους ἀδιήγητον, τούτους φοβούμενοι, μήτε ἀσεβὲς μη- " δὲν, μηδὲ ἀνόσιον, μήτε ποιήσητε, μήτε βουλεύσητε. " Μετὰ μέντοι θεοὺς, καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ " ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς " οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη " ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω " τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώ- " ποις ἀναδείξει· εἰ δὲ ἐς ἀλλήλους ἄδικόν τι φρονή- " σετε, ἐκ πάντων ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀπο- " βαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, " οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μά- " λιστα φιλίᾳ προσήκοντα.

8. " Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω οἵους χρὴ " πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μὴ, καὶ παρὰ τῶν προ- " γεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασκα- " λία. Οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν " γονεῖς παισὶ, φίλοι δὲ ἀδελφοῖς· ἤδη δέ τινες τούτων " καὶ ἐναντία ἀλλήλοις ἔπραξαν· ὁποτέροις ἂν οὖν αἰ- " σθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱ- " ρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε.

9. "Καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. Τὸ δ' ἐμὸν
" σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ
" θῆτε, μήτε ἐν ἀργύρῳ, μηδὲ ἐν ἄλλῳ μηδενί· ἀλλὰ
" τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Τί γὰρ τούτου μακα-
" ριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλὰ,
" πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ καὶ
" ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι
" δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους.

10. Ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαίνεται
" ἡ ψυχὴ ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολι-
" ποῦσα. Εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς
" ἅψασθαι, ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέ-
" λει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦ-
" μαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν
" σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι
" πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν πα-
" ρακαλεῖτε, συνησθησομένους ἐμοὶ ὅτι ἐν τῷ ἀσφαλεῖ
" ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν
" μετὰ τοῦ θείου γένωμαι, μήτε ἢν μηδὲν ἔτι ὦ· ὁπόσοι
" δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες ὁπόσα ἐπ' ἀν-
" δρὶ εὐδαίμονι νομίζεται, ἀποπέμπετε. Καὶ τοῦτο,
" ἔφη, μέμνησθέ μου τελευταῖον, Τοὺς φίλους εὐεργε-
" τοῦντες, καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. Καὶ
" χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε
" ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ
" ἀπόντες φίλοι χαίρετε."

11. Ταῦτ'

11. Ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

Ἡ ΠΡΟΔΙΚΟΥ ἈΛΛΗΓΟΡΙΑ,
Ἐκ ΞΕΝΟΦΩΝΤΟΣ.

Πρόδικος ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. Φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας) ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ποτέραν τῶν ὁδῶν τράπηται.

2. Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προϊέναι μεγάλας, καὶ τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον, φύσει κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι· τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιστα ὥρα διαλάμποι. κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴτις

ἄλλος

ἄλλος αὐτὴν θεᾶται. πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.

3. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον· τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· " Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν " ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιή- " σῃς, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥάστην ὁδὸν ἄξω σε, καὶ " τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλε- " πῶν ἄπειρος διαβιώσῃ.

4. " Πρῶτον μὲν γὰρ οὐ πολέμων, οὐδὲ πραγμάτων " φροντιεῖς, ἀλλὰ σκοπούμενος δίεσῃ, τί ἂν κεχαρισμέ- " νον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν, ἢ τί ἀκού- " σας τερφθείης, ἢ τίνων ὀσφραινόμενος, ἢ ἁπτόμενος " ἡσθείης, τίσι δὲ παιδικοῖς μάλιστ' ἂν εὐφρανθείης, καὶ " πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν απονώ- " τατα τούτων πάντων τυγχάνοις.

5. " Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως, " ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ " πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ " ταῦτα πορίζεσθαι· ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζων- " ται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν " δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι " τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω."

6. Καὶ ὁ Ἡρακλῆς ἀκέσας ταῦτα· " ὦ γύναι, " ἔφη, ὄνομα δέ σοι τί ἐςιν;" Ἡ δὲ, " οἱ μὲν ἐμοὶ φίλοι," ἔφη, " καλῦσί με Εὐδαιμονίαν· οἱ δὲ μισῦντές " με, ὑποκοριζόμενοι καλῦσί με Κακίαν."

7. Καὶ ἐν τέτῳ ἡ ἑτέρα γυνὴ προσελθῦσα εἶπεν· " Καὶ ἐγὼ ἥκω πρὸ σε, ὦ Ἡράκλεις, εἰδυῖα " τὲς γεννήσαντάς σε καὶ φύσιν τὴν ἐν τῇ παι- " δίᾳ καλαμαθῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ " ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν " ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμο- " τέραν, καὶ ἐπ' ἀγαθοῖς διαπρεπεςέραν φανῆναι. ὐκ " ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ " οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ' ἀλη- " θείας.

8. " Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν ὐδὲν " ἄνευ πόνυ καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· " ἀλλ' εἴτε τὲς θεὲς ἵλεως εἶναί σοι βέλει, θερα- " πευτέον τὲς θεές· εἴτε ὑπὸ φίλων ἐθέλοις ἀγα- " πᾶσθαι, τὲς φίλες εὐεργετητέον· εἴτε ὑπό τινος πό- " λεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε " ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμά- " ζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν " γῆν φέρειν σοι βέλει καρπὲς ἀφθόνες, τὴν γῆν θε- " ραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλετίζε- " σθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμε

ὁρμᾷς

" ὁρμᾶς αὔξεσθαι, καὶ βούλει δύνασθαι τοὺς τε φίλους
" ἐλευθεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς
" τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ
" ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον. εἰ δὲ καὶ τῷ σώ-
" ματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον
" τὸ σῶμα, καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι."

9. Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, " ἐννοεῖς, ὦ
" Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐ-
" φροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν
" καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε."

10. Καὶ ἡ Ἀρετὴ εἶπεν. " Ὦ τλῆμον, τί δὲ σὺ
" ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα
" πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυ-
" μίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμ-
" πίπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν,
" πίνουσα· καὶ ἵνα δὲ ἡδέως φάγῃς, ὀψοποιοὺς μηχα-
" νωμένη· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς
" παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς.
" ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς
" μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα
" ταῖς κλίναις παρασκευάζεις. οὐ γὰρ διὰ τὸ πονεῖν,
" ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ, τι ποιῇς, ὕπνου ἐπιθυ-
" μεῖς. οὕτω δὲ παιδεύεις τοὺς σαυτῆς φίλους, τῆς μὲν
" νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον
" κατακοιμίζουσα.

11. " Ἀθά-

11. “Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ. τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.

12. “Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν, οὔτε θεῖον οὔτε ἀνθρώπινον, χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις, οἷς προσήκει· ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτης οἰκέταις· ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.

13. “Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις. ἀνέχονται

" γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δὲ αὐτοῖς
" πάρεστιν ἡδίων, ἢ τοῖς ἀμόχθοις· καὶ ὅτε ἀπολιπόν-
" τες αὐτὸν ἄχθονται, ὅτε διὰ τοῦτον μεθιᾶσι τὰ
" δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυ-
" τέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν
" νέων τιμαῖς ἀγάλλονται. καὶ ἡδέως μὲν τῶν πα-
" λαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδον-
" ται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγα-
" πητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ
" τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖν-
" ται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι
" θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡ-
" ράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην
" εὐδαιμονίαν κεκτῆσθαι."

14. Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παιδεύσιν. ἐκόσμησε μέν τοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν· σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι, καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

ΣΩΚΡΑΤΗΣ περὶ ΠΡΟΣΤΑΤΕΙΑΣ ΠΟΛΙΤΙΚΗΣ. ΑΠΟΜΝ.

Γλαύκωνα δὲ τὸν Ἀρίστωνος, (ὅτ' ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτη γεγονὼς) ὄντων ἄλλων οἰκείων καὶ φίλων,

φίλων, ὐδεὶς ἐδύνατο παῦσαι ἑλκόμενόν τε ἀπὸ τῦ βήματος, καὶ καταγέλαστον ὄντα. Σωκράτης δὲ, εὔνυς ὢν αὐτῷ διά τε Χαρμίδην τὸν Γλαύκωνος, καὶ διὰ Πλάτωνα, μόνος ἔπαυσεν.

2. Ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκύειν τοιάδε λέξας, κατέσχεν. ὦ Γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; ἔγωγ', ἔφη, ὦ Σώκρατες. νὴ Δί', ἔφη. καλὸν γὰρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. δῆλον γὰρ, ὅτι ἐὰν τῦτο διαπράξῃ, δυνατὸς μὲν ἔσῃ αὐτὸς τυγχάνειν ὅτυ ἂν ἐπιθυμῇς, ἱκανὸς δὲ τὺς φίλυς ὠφελεῖν, ἐπαρεῖς δὲ τὸν πατρῷον οἶκον, αὐξήσεις δὲ τὴν πατρίδα, ὀνομαστὸς δ' ἔσῃ πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ' ἐν τῇ Ἑλλάδι, ἴσως δὲ ὥσπερ Θεμιστοκλῆς, καὶ ἐν τοῖς βαρβάροις· ὅπυ δ' ἂν ἦς, πανταχῦ περίβλεπτος ἔσῃ.

3. Ταῦτ' ὖν ἀκύων ὁ Γλαύκων ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. μετὰ δὲ ταῦτα ὁ Σωκράτης, ὐκῦν, ἔφη, τῦτο μὲν, ὦ Γλαύκων, δῆλον, ὅτι εἴπερ τιμᾶσθαι βύλει, ὠφελητέα σοι ἡ πόλις ἐστίν. πάνυ μὲν ὖν, ἔφη. πρὸς Θεῶν, ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ' εἰπὲ ἡμῖν, ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν.

4. Ἐπεὶ δὲ ὁ Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν ὁπόθεν ἄρχοιτο· ἆρ' ἔφη ὁ Σωκράτης, ὥσπερ

φίλυ οἶκον. εἰ αὐξῆσαι βύλοιο, πλυσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, ὕτω καὶ τὴν πόλιν πειράσῃ πλυσιωτέραν ποιῆσαι; πάνυ μὲν ὖν, ἔφη.

5. Οὐκῦν πλυσιωτέρα γ' ἂν εἴη, προσόδων αὐτῇ πλειόνων γενομένων; εἰκὸς γῦν, ἔφη. λέξον δὴ, ἔφη, ἐκ τίνων νῦν αἱ πρόσοδοι τῇ πόλει, καὶ πόσαι τινές εἰσι. δῆλον γὰρ, ὅτι ἔσκεψαι, ἵνα εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχυσιν, ἐκπληρώσῃς· εἰ δὲ παραλείπονται, προσπορίσῃς. ἀλλὰ μὰ Δί', ἔφη ὁ Γλαύκων, ταῦτά γε ὐκ ἐπέσκεμμαι.

6. Ἀλλ' εἰ τῦτο, ἔφη, παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ· δῆλον γὰρ, ὅτι καὶ τύτων τὰς περιττὰς ἀφαιρεῖν διανοῇ. ἀλλὰ μὰ τὸν Δί', ἔφη, ὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. ὐκῦν, ἔφη, τὸ μὲν πλυσιωτέραν τὴν πόλιν ποιεῖν ἀναβαλύμεθα. πῶς γὰρ οἷόν τε μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδυς, ἐπιμεληθῆναι τύτων;

7. Ἀλλ', ὦ Σώκρατες, ἔφη ὁ Γλαύκων, δυνατόν ἐστι καὶ ἀπὸ πολεμίων τὴν πόλιν πλυτίζειν. νὴ Δία σφόδρα γ', ἔφη ὁ Σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ· ἥττων δέ ὢν, καὶ τὰ οἰκεῖα προσαποβάλοι ἄν. ἀληθῆ λέγεις, ἔφη.

8. Οὐκῦν, ἔφη, τόν γε βυλευσόμενον πρὸς ὕστινας

δεῖ

δεῖ πολεμεῖν, τήν τε τῆς πόλεως δύναμιν καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα, ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ· ἐὰν δὲ ἥττων τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. ὀρθῶς λέγεις, ἔφη.

9. Πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. ἀλλ' εἰ γέγραπταί σοι, ἔνεγκε, ἔφη. πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ γέγραπταί μοι πω.

10. Οὐκοῦν, ἔφη, καὶ περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν· ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν ἄρτι ἀρχόμενος τῆς προστατείας οὔπω ἐξήτακας. ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέληκεν, καὶ οἶσθα ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί εἰσι, καὶ ὁπόσαι μή, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι, καὶ ὁπόσοι μή εἰσί· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύσειν μείζονας ποιεῖν, τὰς δὲ περίττας ἀφαιρεῖν.

11. Μὴ Δί', ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι, ὥστε καὶ ἅπτεσθαι τὰ ἐκ τῆς χώρας. ἐὰν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλακὰς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτάρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς ἐξήτακας

τοῦτο,

τῦτο, ἢ πῶς οἶσθα, ὅτι κακῶς φυλάττονται; εἰκάζω, ἔφη. ὐκῦν ἔφη, καὶ περὶ τύτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβυλεύσομεν. ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον.

12. Εἴς γε μὴν, ἔφη, τἀργύρια οἶδ' ὅτι ὐκ ἀφῖξαι, ὥστ' ἔχειν εἰπεῖν, διότι νῦν ἐλάττω, ἢ πρόσθεν προσέρχεται αὐτόθεν. ὐ γὰρ ὖν ἐλήλυθα, ἔφη. καὶ γὰρ νὴ Δί', ἔφη ὁ Σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι, ὥστε ὅταν περὶ τύτυ δέῃ συμβυλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει. σκέπτομαι, ἔφη ὁ Γλαύκων.

13. Ἀλλ' ἐκείνυ γέ τοι, ἔφη, οἶδ' ὅτι ὐκ ἠμέληκας, ἀλλ' ἔσκεψαι, πόσον χρόνον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσυ εἰς τὸν ἐνιαυτὸν προσδέεται, ἵνα μὴ τῦτό γε λάθῃ σέ ποτε ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδὼς, ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων συμβυλεύων τῇ πόλει βοηθεῖν τε, καὶ σώζειν αὐτήν. λέγεις, ἔφη ὁ Γλαύκων, παμμέγεθες πρᾶγμα, εἴγε καὶ τῶν τοιύτων ἐπιμελεῖσθαι δεήσει.

14. Ἀλλὰ μέντοι, ἔφη ὁ Σωκράτης, ὐδ' ἂν τὸν ἑαυτῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται ὧν προσδέεται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσύτων οἴκων

οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ ἕνα τὸν τοῦ θείου πρῶτον ἐπειράθης αὐξῆσαι; (δέεται δέ) κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις. ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴτις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ;

15. Ἀλλ' ἔγωγ', ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. εἶτα, ἔφη ὁ Σωκράτης, τὸν θεῖον οὐ δυνάμενος πείθειν, Ἀθηναίους πάντας μετὰ τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι;

16. Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ τοῦ εὐδοξεῖν ἐπιθυμῶν εἰς τοὐναντίον ἔλθῃς. ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι τὸ, ἃ μὴ οἶδέ τις, ταῦτα λέγειν ἢ πράττειν; ἐνθυμοῦ δὲ τῶν ἄλλων, ὅσους οἶσθα τοιούτους, οἷοι φαίνονται καὶ λέγοντες, ἃ μὴ ἴσασι, καὶ πράττοντες, πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον, ἢ ψόγου τυγχάνειν, καὶ πότερον θαυμάζεσθαι μᾶλλον, ἢ καταφρονεῖσθαι.

17. Ἐνθυμοῦ δὲ καὶ τῶν εἰδότων ὅ, τι τε λέγουσι καὶ ὅ, τι ποιοῦσι· καὶ, ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους, ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους, ἐκ τῶν ἀμαθεστάτων.

18. Εἰ

18. Εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι ἃ βούλει πράττειν. ἐὰν γὰρ τούτῳ διενεγκὼν τῶν ἄλλων, ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι, εἰ πάνυ ῥᾳδίως τύχοις, ὧν ἐπιθυμεῖς.

ΠΕΡΙ ΘΕΩΝ.

ΤΟ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους, ἀδικωτέρους τὲ καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι.

2. Πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δέ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παρεγενόμην.

3. Εἰπέ μοι, (ἔφη) ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοί, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; καὶ ὅς, μὰ τὸν Δί᾽, ἔφη, οὐκ ἔμοιγε. ἀλλ᾽ οἶσθά γ᾽ (ἔφη) ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; νὴ Δί᾽, (ἔφη) ὅ γ᾽ εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς

ἂν

ὤν ἡμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι κάλλιστον ἀναπαυτήριον. πάνυ δ' (ἔφη) καὶ τοῦτο χάριτος ἄξιον.

4. Τὸ δ', ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσι, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; πάνυ (ἔφη) καὶ ταῦτα φιλάνθρωπα.

5. Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φυτεύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά; καὶ, ἐπειδὰν πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; καὶ τοῦτο (ἔφη) προνοητικόν.

6. Τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην, καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται; ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς βίον χρησίμων κατασκευάζονται. ὑπερβάλλει (ἔφη) καὶ τοῦτο φιλανθρωπίᾳ.

7. Τὸ δ' αὖ (ἐπειδὴ καὶ τοῦτο φανερὸν, ὅτι οὐκ ἂν ὑπενέγκοιμεν οὔτε τὸ καῦμα, οὔτε τὸ ψῦχος, εἰ ἐξαπίνης γίγνοιτο)

γίγνοιτο) ὅτω μὲν κατὰ μικρὸν προσιέναι τὸν ἥλιον, ὅτω δὲ κατὰ μικρὸν ἀπιέναι, ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισαμένους; ἐγὼ μὲν οὖν (ἔφη ὁ Εὐθύδημος) ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τι ἐστὶ τοῖς θεοῖς ἔργον, ἢ ἀνθρώπους θεραπεύειν. ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἄλλα ζῶα τούτων μετέχει.

8. Οὐ γὰρ καὶ τοῦτ' (ἔφη ὁ Σωκράτης) φανερὸν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε, καὶ ὑῶν, καὶ ἵππων, καὶ βοῶν, καὶ ὄνων, καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω τῶν φυτῶν. τρέφονται γοῦν, καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων, ἢ ἀπ' ἐκείνων. πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι, καὶ τυρῷ, καὶ κρέασι τρεφόμενοι ζῶσιν. πάντες δὲ τιθασσεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη. ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅ, τι ἂν βούλωνται.

9. Τὸ δ' (ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστὶ) προσθεῖναι τοῖς ἀνθρώ-

ποις

ποις αἰσθήσεις ἁρμοτῆοντας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν. τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ, περὶ ὧν αἰσθανώμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν, ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα. τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι.

10. Ὅτι δέ γε ἀληθῆ λέγω, (ἔφη ὁ Σωκράτης) καὶ σὺ γνώσῃ, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι, τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν. οἵ τε γὰρ ἄλλοι ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τὸ ἐμφανὲς ἰόντες διδόασιν, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις, ἀτριβῆ τε καὶ ὑγιῆ καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τόδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.

11. Ἐννόει δὲ, ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος, οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς

ὁρᾶν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ, πάντων κρατεῖ· ὁρᾶται δ' οὔτ' ἐπιών, οὔτε κατασκήψας, οὔτε ἀπιών. καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχὴ (εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων) τοῦ θείου μετέχει. ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν, φανερόν· ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γινομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾶν τὸ δαιμόνιον.

12. Ἐγὼ μέν, ὦ Σώκρατες, (ἔφη ὁ Εὐθύδημος) ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα. ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι.

PARS

PARS IV.

Ex PLATONIS PHÆDONE.

Ὁ ΣΩΚΡΆΤΟΥΣ ΘΆΝΑΤΟΣ.

Ἐκ τοῦ ΠΛΆΤΩΝΟΣ ΦΑΙ'ΔΩΝΟΣ.

ΑΥΤΗ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντας πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι, καὶ ἐπὶ γῆς οἰκιζόμενοι· τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι, ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται· ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.

2. Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πάντα ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη.

μεγάλη. Τούτων δὴ ἕνεκα θαῤῥεῖν χρὴ περὶ τῇ αὑτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ τοὺς κόσμους εἴασε χαίρειν, ὡς ἀλλοτρίους τε ὄντας, καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι· τὰς δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε, καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ, καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς ᾅδου πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ.

3. Ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, καὶ οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε. ἐμὲ δὲ νῦν ἤδη καλεῖ (φαίη ἂν ἀνὴρ τραγικὸς) ἡ εἱμαρμένη, καὶ σχεδόν τι μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν. δοκεῖ γὰρ ἤδη βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον, καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν, νεκρὸν λούειν. Ταῦτα δὴ εἰπόντος αὐτοῦ, ὁ Κρίτων, εἶεν, ἔφη, ὦ Σώκρατες. τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιτέλλῃ, ἢ περὶ τῶν παίδων, ἢ περὶ ἄλλου του, ὅ, τι ἂν σοι ποιοῦντες ἡμεῖς, ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων· οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς, καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε· κἂν μὴ νῦν ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε, καὶ μὴ θέλητε, ὥσπερ κατ' ἴχνη, κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ, ζῆν, οὐδὲ ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε.

ποιῆτε. Ταῦτα μὲν τοίνυν προθυμησόμεθα (ἔφη) ἔτω ποιεῖν. θάπτομεν δὲ τίνα σὲ τρόπον; Ὅπως ἂν (ἔφη) βέλησθε· ἐὰν πέρ γε λάβητέ με, καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῆ, καὶ πρὸς ἡμᾶς ἀποβλέψας, εἶπεν, Οὐ πείθω (ἔφη) ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι ἔτος ὁ Σωκράτης, ὁ νυνὶ διαλεγόμενος, καὶ διατάττων ἕκαστα τῶν λεγομένων· ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον νεκρὸν, καὶ ἐρωτᾷ πῶς δεῖ με θάπτειν. ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι, ὡς ἐπειδὰν πίω τὸ φάρμακον, ἐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθέμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν. ἐγγυήσασθε ἔν με πρὸς Κρίτωνα (ἔφη) τὴν ἐναντίαν ἐγγύην, ἣ ὃν ἔτος πρὸς τὲς δικαςὰς ἠγγυᾶτο. ἔτος μὲν γὰρ ἦ μὴν παραμενεῖν· ὑμεῖς δὲ, ἦ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα. ἵνα Κρίτων ῥᾷον φέρῃ, καὶ μὴ, ὁρῶν μȣ τὸ σῶμα ἢ καιόμενον, ἢ κατορυττόμενον, ἀγανακτῇ ὑπὲρ ἐμȣ͂, ὡς δεινὰ ἄττα πάσχοντος· μηδὲ λέγῃ ἐν τῇ ταφῇ, ὡς ἢ προτίθεται Σωκράτης, ἢ ἐκφέρει, ἢ κατορύττει. ἀλλὰ θαῤῥεῖν τε χρὴ, καὶ φάναι τȣ̓μὸν σῶμα θάπτειν, καὶ θάπτειν ἔτως, ὅπως ἄν σοι φίλον ᾖ, καὶ μάλιςα ἡγῇ νόμιμον εἶναι.

4. Ταῦτ' εἰπὼν, ἐκεῖνος μὲν ἀνίςατο εἰς οἴκημά τι ὡς λȣσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ· ἡμᾶς δ' ἐκέλευε

ἐκέλευε περιμένειν. περιεμένομεν οὖν, πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων, καὶ ἀνασκοποῦντες· τότε δ' αὖ περὶ τῆς συμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ ἐλούσατο, καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας) καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν. χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος· καὶ οὐ πολλὰ ἄττα μετὰ ταῦτα διελέχθη. καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης· καὶ στὰς παρ' αὐτὸν, Ὦ Σώκρατες (ἔφη) οὐ καταγνώσομαι γέ σου ὅπερ ἄλλων καταγινώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων· καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις (γινώσκεις γὰρ τοὺς αἰτίους) ἀλλὰ ἐκείνοις. νῦν οὖν (οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν) χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. καὶ ἅμα δακρύσας, μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης, ἀναβλέψας πρὸς αὐτὸν, Καὶ σὺ, ἔφη, χαῖρε. καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, ὡς ἀστεῖος,

ἔφη,

ὁ ἄνθρωπος! καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει, καὶ διελέγετο ἐνίοτε· καὶ ἦν ἀνδρῶν λῷστος· καὶ νῦν ὡς γενναίως με ἀποδακρύει! ἀλλὰ γε δή, ὦ Κρίτων πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τὶς τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κρίτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐν τοῖς ὄρεσι, καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης, Εἰκότως γ' ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν ἃ σὺ λέγεις (οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες) καὶ ἔγωγε εἰκότως ταῦτα οὐ ποιήσω. οὐδὲν γὰρ οἶμαι κερδαίνειν, ὀλίγον ὕστερον πιών, ἄλλό γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν, καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, ἔφη, πείθου καὶ μὴ ἄλλως ποίει.

δ. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας, ἧκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. Ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, Εἶεν, ἔφη, ὦ βέλτιστε, (σὺ γὰρ τούτων ἐπιστήμων) τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται· ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσεις. καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβών, καὶ

μάλα ἵλεως, ὦ Ἐχέκρατες, ὐδὲν τρέσας, ὐδὲ διαφθείρας ὔτε τῦ χρώματος ὔτε τῦ προσώπυ, ἀλλ᾽ ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τῦδε τῦ πόματος πρὸς τὸ ἀποσπεῖσαι τινί; ἔξεστιν, ἢ ὔ; Τοσῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ᾽ ὅς· ἀλλ᾽ εὔχεσθαι γέ πυ τοῖς θεοῖς ἔξεστί τε καὶ χρὴ, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαι τε, καὶ γένοιτο ταύτῃ. καὶ ἅμα εἰπὼν ταῦτα, ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὴν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν· ὡς δὲ εἴδομέν πίνοντά τε καὶ πεπωκότα, ὐκέτι. ἀλλ᾽ ἐμῦ γε βίᾳ καὶ αὐτῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα. ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν. ὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτῦ τύχην, οἵυ ἀνδρὸς ἑταίρυ ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμῦ, ἐπειδὴ ὐχ οἷός τ᾽ ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος κλαίων καὶ ἀγανακτῶν, ὐδένα ὅντινα ὐ κατέκλαυσε τῶν παρόντων, πλήν γε αὐτῦ Σωκράτυς. ἐκεῖνος δὲ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι ὐχ ἥκιστα τύτυ ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν. καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾷν. ἀλλ᾽ ἡσυχίαν τε ἄγετε, καὶ καρτερεῖτε. καὶ ἡμεῖς ἀκύσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τῦ δακρύειν. ὁ δὲ περιελθὼν, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη,

κατεκλίθη

κατεκλίθη ὕπτιος. οὕτω γὰρ ἐκέλευσεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη. κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα, ἤρετο εἰ αἰσθάνοιτο. ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας. καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πήγνυτο. καὶ αὐτὸς ἥπτετο, καὶ εἶπεν, ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα· καὶ ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γὰρ) εἶπεν, (ὃ δὴ τελευταῖον ἐφθέγξατο) Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα. ἀλλὰ ἀπόδοτε, καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα ἔσται, ἔφη ὁ Κρίτων. ἀλλ' ὅρα εἴτι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο· ἀλλ' ὀλίγον χρόνον διαλιπὼν, ἐκινήθη τε, καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν. καὶ ὃς τὰ ὄμματα ἔστησεν. ἰδὼν δὲ ὁ Κρίτων συνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς. Ἥδε ἡ τελευτὴ, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρὸς, ὡς ἡμεῖς φαῖμεν ἂν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου, καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.



PARS V.

Ex ISOCRATE.



ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΠΑΡΑΙΝΕΣΙΣ.

ΕΝ πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν. οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. Καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλοίψειεν. Ἡγούμενος οὖν πρέπειν, τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ

τὸν

τὸν παρόντα καιρὸν συναγωνιζόμενον. σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν· οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι· τοσούτῳ μᾶλλον ἐκείνων, τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι· διόπερ ἡμεῖς, οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομεν σοὶ συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν· ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. κάλλος μὲν γὰρ ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε. πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστίν· ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ, τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε· καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ἐν ταῖς διανοίαις συναυξηθῇ,

μόνη

μόνη μὲν συγγηράσκει· πλέτε δὲ κρείτ]ων, χρησι-μώ]ερα δὲ εὐγενείας ἐςί· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δύνα]α καθιςῶσα· τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένεσα· καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγεμένη. ῥᾴδιον δὲ τοῦτο καlαμαθεῖν ἐςὶν, ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακ]ῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥςε μηδὲ τὸν ἅπαν]α χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων. Οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρε]ῆς, οὐδὲ ῥαθυμῶν διε]έλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόν]ων ἀγαθῶν, ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόν]ων ὡς ἀθάνα]ος. οὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυ]οῦ βίον· ἀλλὰ φιλόκαλός τε ἦν, καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός· καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζον]ας, ἢ τοὺς τῷ γένει προσήκον]ας. ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείτ]ω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης. ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις κα]αριθμησαίμεθα. ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν. Δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ ζῆν σὲ, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν, τὸν ἐκείνου τρόπον

τον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων· τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὥς σοι σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς Θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον· τοῦτο δὲ τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως. οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν.

Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα.

τούτου

τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου. τὸ μὲν ἀνόητον, τὸ δὲ μανικόν.

Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπόν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν, κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γάρ, ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις.

Τὸν μὲν θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα.

Τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου.

Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον.

Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

Ἅπαντα

Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

Μάλιστα δ᾽ ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

Ἐὰν ᾖς φιλομαθής, ἔσῃ πολυμαθής.

Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις· ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν. Καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.

Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν· τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

Τῷ μὲν τρόπῳ γίνυ φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἔςι δὲ φιλοπροσηγορίας μὲν, τὸ προσφωνεῖν τὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίςοις. ὕτω γὰρ τοῖς μὲν ὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. τὰς ἐντεύξεις μὴ πυκνὰς ποιῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.

Γύμναζε σεαυτὸν πόνοις ἑκυσίοις, ὅπως ἂν δύναιο καὶ τὺς ἀκυσίυς ὑπομένειν.

Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τύτων ἐγκράτειαν ἄσκει πάντων, κέρδυς, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. τῇ δὲ ὀργῇ ἂν παραπλησίως ἔχῃς πρὸς τὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα καὶ τὺς ἄλλυς ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς τ' ἡδοναῖς δυλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν, ὡς ἄνθρωπος ὢν, ὑπομιμνήσκῃς.

Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τὺς ἀγαθὺς ἄνδρας τρόπον ὅρκυ πιςότερον φαίνεσθαι παρεχομένυς.

Προσήκει

Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀποῤῥήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν.

Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύω προφάσεις· ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ᾽ ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότεροις φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περί σε γενέσθαι τοιοῦτον οἷος καὶ περὶ ἐκείνους γέγονε.

Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε· τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. Περὶ τῶν ῥητῶν ὡς ἀποῤῥήτων ἀνακοίνου. μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ.

Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. τὸ μὲν γὰρ

χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν.

Οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος, ἐν τοῖς καιροῖς, αὐτοῖς βοηθῇς.

Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις.

Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι.

Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας· ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές· καλλωπιστοῦ δὲ τὸ περίεργον.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλή-

σιον

σιον γὰρ οἱ τοιῦτοι πάσχυσιν. ὥσπερ ἂν εἴ τις ἵππον κλήσαιλο καλὸν, κακῶς ἱππεύειν ἐπιςάμενος.

Τίμα τὴν ὑπάρχυσαν ὐσίαν δυοῖν ἕνεκα, τῦ τε ζημίαν μεγάλην ἐκτίσαι, καὶ τῦ φίλῳ σπυδαίῳ δυστυχῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲν ὑπερβαλλόνλως, ἀλλὰ μετρίως αὐτὸν ἀγάπα· ςέργε μὲν τὰ παρόνλα, ζήτει δὲ τὰ βελτίω.

Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόραλον.

Τὺς ἀγαθὺς εὖ ποιεῖ. καλὸς γὰρ θησαυρὸς παρ᾽ ἀνδρὶ σπυδαίῳ χάρις ὀφειλομένη. Τὺς κακὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλολρίας κύνας σιτίζυσιν· ἐκεῖναί τε γὰρ τὺς διδόντας, ὥσπερ τὺς τυχόνλας, ὑλακλῦσιν· οἵ τε κακοὶ τὺς ὠφελῦνλας, ὥσπερ τὺς βλάπλονλας, ἀδικῦσι.

Μίσει τὺς κολακεύονλας, ὥσπερ τὺς ἐξαπαλῶνλας· ἀμφότεροι γὰρ πιςευθένλες τῦς πιςεύονλας ἀδικῦσιν.

Γίνυ πρὸς τὺς πλησιάζονλας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός· τῶν μὲν γὰρ τὸν ὑπεροπλικὸν ὄγκον μόλις ἂν οἱ δῦλοι καρλερήσειαν· τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπανλες ἡδέως ὑποφέρυσιν. Ὁμιλητικὸς δὲ ἔσῃ, μὴ δύσερις ὢν, μηδὲ δυσάρεσος, μηδὲ πρὸς πάντα φιλόνεικος,

λόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ᾽ ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν. μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὤν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητής, παροξυντικὸν γάρ.

Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρός, ἐξανίστασο πρὸ μέθης· ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτάνοντα τῶν εὐθυνόντων· ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας.

Ἀθάνατα μὲν φρόνει, τῷ μεγαλόψυχος εἶναι· θνητὰ δέ, τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν· αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

Οἷς

Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας· ἀρχὴ μὲν γὰρ φιλίας, ἔπαινος· ἔχθρας δέ, ψόγος.

Βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν θεοῦ εὐτυχίαν, παρὰ δ' ἡμῶν αὐτῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις.

Ὅταν δ' ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον, πῶς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν.

Εἰς ἀρχὴν καταστάθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

Ἐκ

Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου, μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς.

Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν.

Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι, τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.

Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.

Πειρῶ

Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾷν ἐπίσῃ τὰ συμφέροντα.

Πᾶν, ὅ, τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ. πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὔτε γὰρ οὔτ᾽ εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος.

Δύω ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾷν ἢ λέγειν.

Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν· γίνου δὲ τοῖς ἄλλοις μηδ᾽ ἐν ἑτέροις ὢν καταδηλος· ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.

Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

O Μάλιστα

Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δὲ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ᾽ αἰσχρᾶς φήμης· τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας, ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν· τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ᾽ εὐνοίας χαλεπῶς εὑρήσεις· ὅπως οὖν τὰ λοιπὰ μὴ παρ᾽ ἑτέρου ζητῇς, ἀλλ᾽ ἐντεῦθεν ὥσπερ ἐκ ταμείου, προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοὶ συμβουλεύειν. Πολλὴν δ᾽ ἂν τῷ θεῷ χάριν σχοίην, εἰ μὴ διαμάρτοιμί τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω· τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ᾽ οὐ τοῖς νουθετοῦσι· σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ· τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς, καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὸν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι μάλιστα δ᾽ ἂν παροξυνθείης ὀρεχθῆναι τῶν


καλῶν

καλῶν ἔργων, εἰ καλαμχθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τέτων μάλιϛα γνησίως ἔχομεν· ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι· τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτȣ͂ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι· κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕϛερον ἐλυπήθημεν· ἐνταῦθα δὲ, μετὰ τὰς λύπας, τὰς ἡδονὰς ἔχομεν· ἐν ἅπασι δὲ τοῖς ἔργοις ȣ̓χ ȣ̔́τω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖϛα τῶν περὶ τὸν βίον, ȣ̓ δι᾽ αὐτὰ τὰ πράγματα ποιȣ͂μεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονȣ͂μεν. Ἐνθυμȣ͂ δὲ, διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν· (εὐθὺς γὰρ τȣ͂ βίȣ τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν·) τοῖς δὲ σπȣδαίοις ȣ̓χ οἷόντε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλȣ̀ς ἔχειν τȣ̀ς ἐπιπλήττοντας· πάντες γὰρ μισȣ͂σιν ȣ̓χ ȣ̔́τω τȣ̀ς ἐξαμαρτάνοντας, ὡς τȣ̀ς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως· ὅπȣ γὰρ τȣ̀ς τῷ λόγῳ μόνῳ ψευδομένȣς ἀποδοκιμάζομεν, ἦπȣ τȣ̀ς τῷ βίῳ παντὶ ἐλαττȣμένȣς, ȣ̓ φαύλȣς εἶναι φήσομεν; δικαίως δ᾽ ἂν τȣ̀ς τοιȣ́τȣς ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτȣ̀ς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλȣς ἐνεχείρισεν· οἱ δέ σφᾶς αὐτȣ̀ς ἀναξίȣς τῆς ὑπαρχȣ́σης εὐδαιμονίας κατέϛησαν· εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν ϛοχάσασθαι διανοίας, ἡγȣ͂μαι κἀκείνȣς ἐπὶ τοῖς οἰκειοτάτοις μάλιϛα δηλῶσαι, πῶς ἔχȣσι πρὸς

τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων· Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, (ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι,) τὸν μὲν, διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε· τὸν δὲ, διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν· οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκἀγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν· ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἄν τις, ἐκ ταύτης τῆς ἐπιμελείας, τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.



PARS



PARS VI.

Ex LUCIANO.

DIALOG. I.

ΚΥΚΛΩΠΟΣ καὶ ΠΟΣΕΙΔΩΝΟΣ.

ΚΥΚΛΩΨ.

ʹΩ Πάτερ, οἷα πέπονθα ὑπὸ τῦ καταράτυ ξένυ, ὃς μεθύσας ἐξετύφλωσέ με, κοιμωμένῳ ἐπιχειρήσας. ΠΟ. Τίς δὲ ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε; ΚΥΚ. Τὸ μὲν πρῶτον, Οὖτιν ἑαυτὸν ἀπεκάλει· ἐπεὶ δὲ διέφυγε, καὶ ἔξω ἦν βέλυς, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη. ΠΟ. Οἶδα ὃν λέγεις· τὸν Ἰθακήσιον· ἐξ Ἰλίυ δ' ἀνέπλει· ἀλλὰ πῶς ταῦτ' ἔπραξεν, ὐδὲ πάνυ εὐθαρσὴς ὤν;

1 Ὦ Πάτερ] Polyphemum Neptuno et Europâ Tityi filiâ natum fuisse autor est Apollonius. Homerus verò Neptuno et Thoosâ—Vid. Od. ά. Hic autem Dialog. ex Od. ί.

2. ΚΥ.

2. ΚΥ. Κατέλαβον ἐν τῷ ἄντρῳ, ἀπὸ τῆς νομῆς ἀναστρέψας, πολλούς τίνας, ἐπιβουλεύοντας δηλονότι τοῖς ποιμνίοις· ἐπεὶ δὲ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα, πέτρα δέ ἐστί μοι παμμεγέθης, καὶ τὸ πῦρ ἀνέκαυσα, ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν, ἀποκρύπτειν αὑτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβὼν αὐτῶν τίνας, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστὰς ὄντας· ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε Οὖτις, εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ, καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι, καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο, καὶ οὐκ ἔτι ὅλως ἐν ἐμαυτῷ ἤμην· [1] τέλος δὲ, ἐς ὕπνον κατεσπάσθην. ὁ δὲ, ἀποξύσας τὸν μοχλὸν, καὶ πυρώσας γε, προσέτι ἐτύφλωσέ με καθεύδοντα· καὶ [2] ἀπ᾽ ἐκείνου τυφλός [3] εἰμί σοι, ὦ Πόσειδον.

3. ΠΟ. [4] Ὡς βαθὺν ἐκοιμήθης, [5] ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. ὁ δ᾽ οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν εὖ οἶδ᾽ ὅτι ἐδυνήθη ἀποκινῆσαι

1 Τέλος δὲ] Ellipsis pro εἰς vel πρὸς vel κατὰ τέλος.

2 Ἀπ᾽ ἐκείνου] Subaud. χρόνου.

3 Εἰμί σοι] Σοὶ et μοὶ quemadmodum apud Hebræos, Latinos, et Gallos sæpe παρέλκουσιν. Vid. Viger.

4 Ὡς βαθὺν] Subad. ὕπνον.

5 Ὦ τέκνον, ὃς, &c.] In omni sive generis sive numeri Anomaliâ habita est ratio πρὸς τὸ σημαινόμενον, non τὸ ῥητόν. Vid. Scot. Gram.

τὴν

τὴν πέτραν ἀπὸ τῆς θύρας. ΚΥ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα· καὶ καθίσας, παρὰ τὴν θύραν ἐθήρων, τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομὴν, ἐντειλάμενος τῷ κριῷ, ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

4. ΠΟ. Μανθάνω, ὑπ' ἐκείνοις ὅτι γε [1] ἔλαθεν ὑπεξελθών σε· ἀλλὰ τοὺς ἄλλους γε Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν. ΚΥ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον. ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τὸ ὄνομα, κἀγὼ ἔφην ὅτι Οὔτις ἐστὶ, μελαγχολᾷν οἰηθέντες με, [2] ᾤχοντο ἀπιόντες. οὕτω κατεσοφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. καὶ ὃ μάλιστα ἠνίασέ με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφορὰν, οὐδ' ὁ πατὴρ, φησὶν, ὁ Ποσειδῶν ἰάσεταί σε. ΠΟ. Θάρσει, ὦ τέκνον· ἀμυνοῦμαι γὰρ αὐτὸν, ὡς μάθῃ, ὅτι εἰ καὶ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων, τὸ σώζειν αὐτοὺς καὶ ἀπολλύναι, ἐπ' ἐμοὶ πρόσεστι. πλεῖ δὲ ἔτι.

1 Ἔλαθὲν ὑπεξελθών σε] Participium cum verbo λανθάνω conjunctum per verbum explicari debet, λανθάνω vero aut per adverbium *clam*, ut ἔλαθεν ὑπεκφυγὼν, *clam aufugit*, aut per nomen *imprudens*, ut ἔλαθεν τὶς μέσου ἐμπεσὼν τοὺς πολεμίους, *imprudens medios in hostes incidit.* quin et per particulam καὶ cum *alio verbo* conjunctum *clam* redditur, ut ἔλαθεν καὶ ἀπέκτεινεν, *clam interfecerunt.* Vid. Viger.

2 Ὤχοντο ἀπιόντες] Participia quædam eleganter in oratione παρέλκουσιν. Hinc illud frequentissimum ᾤχετο ἀπιὼν, quod ad verbum sonat, *abiit discedens*, i. e. discessit. Vid. Viger.



DIALOG. II.

ΠΟΣΕΙΔΩΝΟΣ καὶ ΔΕΛΦΙΝΩΝ.

ΠΟΣΕΙΔΩΝ.

ΕΥΓΕ, ὦ Δελφίνες, ὅτι ἀεὶ [1] φιλάνθρωποί ἐστε· καὶ πάλαι μὲν τὸ τῆς [2] Ἰνοῦς παιδίον [3] ἐπὶ τὸν Ἴσθμον ἐκομίσατε, ὑποδεξάμενοι [4] ἀπὸ τῶν Σκιρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσόν, καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τοῦτον [5] τὸν ἐκ Μηθύμνης ἀναλαβὼν, ἐξενήξω ἐς Ταίναρον αὐτῇ σκευῇ, καὶ κιθάρᾳ· οὐδὲ περιεῖδες κακῶς

1 Φιλάνθρωποι] Vid. Plin. 9. c. 8. Cogn.

2 Ἰνοῦς παιδίον] Melicertam, de quo Apollod. lib. 1 et 3. Athamas ob Junonis iram, quod Bacchum, Jovis nothum, educandum in se susceparat, iis filiis, quos ex Inone sustulerat, orbatus fuit. Ipse enim furore percitus Learchum sagittâ interemit: Ino autem Melicertam secum ipsâ in mare dejecit. Vid. et Ov. Met. lib. 4. et sequent. Dialogum.

3 Ἐπὶ τὸν Ἴσθμον] Illum scilicet, quo Peloponnesus reliquæ Græciæ connectitur, inter sinum Corinthiacum et sinum Saronicum situm.

4 Ἀπὸ τῶν Σκιρωνίδων] In orâ inter Megara et Corinthum sitæ sunt Scironides petræ, teste Strabone, lib. IX. et teste Solino, non procul à Piræeo in mare 6 m. p. porrectæ. Hæc autem saxa Scironia dicta sunt à Scirone, qui hanc montanam regionem latrociniis infestam habuit, et postquam cum interfecerat Theseus, ossa ejus, teste Ovidio, in saxa mutabantur. Vid. Ov. Met. lib. 7.

5 Τὸν ἐκ Μηθύμνης] Arionem Methymnæ, quæ urbs est Lesbi, natum.

ὑπὸ

ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον. ΔΕΛ. Μὴ θαυμάσῃς, ὦ Πόσειδον, [1] εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν, ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι. ΠΟ. Καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δέον χειρώσασθαι μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο. ὅπως γοῦν τὰ κατὰ τὸν Ἀρίονα τοῦτον ἐγένετο; ὦ Δελφίν.

2. ΔΕΛ. [2] Ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ, καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τῇ τέχνῃ. ὁ δὲ, πλουτήσας παρὰ τοῦ τυράννου, ἐπεθύμησε πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν ἐπιδείξασθαι τὸν πλοῦτον· καὶ ἐπιβὰς πορθμείου τινὸς κακούργων ἀνδρῶν, ὡς ἔδειξε πολὺν ἄγων χρυσὸν, καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένετο, ἐπιβουλεύουσιν αὐτῷ οἱ ναῦται· ὁ δὲ, (ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει) ἐπεὶ ταῦτα ὑμῖν δέδοκται, ἔφη, ἀλλὰ τὴν σκευὴν ἀναλαβόντα με, καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ, ἑκόντα ἐάσατε ῥίψαι ἐμαυτόν· ἐπέτρεψαν οἱ ναῦται· καὶ ἀνέλαβε τὴν σκευὴν, καὶ ᾖσε πάνυ λιγυρῶς, καὶ ἔπεσεν εἰς τὴν θάλατταν, ὡς αὐτίκα πάντως ἀποθανούμενος. ἐγὼ δὲ ὑπολαβὼν, καὶ ἀναθέμενος αὐτὸν, ἐξενηξάμην ἔχων εἰς

1 Εἰ τοὺς] Εἰ post verba, quæ affectum aliquem animi significant, ferè nunquam non pro ὅτι usurpatur. Viger.

2 Ὁ Περίανδρος] Corinthiorum rex, apud quem Arion in pretio fuit. Vid. Herod. Clio.

Ταίναρον. ΠΟ. Ἐπαινῶ [1] τῆς φιλομουσίας· ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ [2] τῆς ἀκροάσεως.

Dialog. III.

ΔΙΟΣ, ΑΣΚΛΗΠΙΟΣ, καὶ ΗΡΑΚΛΕΟΥΣ.

ΖΕΥΣ.

ΠΑΥ'ΣΑΣΘΕ, ὦ Ἀσκληπιὲ καὶ Ἡρακλεῖς, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν. ΗΡΑ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου; ΑΣΚΛΗ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι. ΗΡΑ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν, [3] ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας; ΑΣΚΛΗ.

1 Τῆς φιλομουσίας] Elliptica est oratio, pro ἐπαινῶ σε ἕνεκα τῆς φιλομουσίας.

2 Τῆς ἀκροάσεως] Idem quod τοῦ ἀκροωμένου. eodem modo ἡ θέα pro τὸ θέαμα usurpatur.

3 Ἃ μὴ θέμις ποιοῦντα] Hippolito ab equis discerpto vitam restituit Æsculapius.

> *Tum pater omnipotens, aliquem indignatus ab umbris*
> *Mortalem infernis ad lumina surgere vitæ,*
> *Ipse repertorem medicinæ talis et artis*
> *Fulmine Phœbigenam Stygias detrusit ad undas.*
>
> Virg. Æn. 7.

Ἐπι-

Ἐπιλέλησαι γὰρ καὶ σὺ, ὦ Ἡρακλὲς, [4] ἐν τῇ Οἴτῃ καταφλεγεὶς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; ΗΡΑ. Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων [5] τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος, σὺ δὲ ῥιζοτόμος εἶ, καὶ ἀγύρτης· νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

2. ΑΣΚΛΗ. Εὖ λέγεις· ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος, ὑπ' ἀμφοῖν [6] διεφθαρμένος τῷ σώματι, τοῦ χιτῶνος, καὶ, μετὰ τοῦτο, τοῦ πυρός· ἐγὼ δὲ, [7] εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκὼς, καὶ παιόμενος [8] ὑπὸ τὴν Ὀμφάλης χρυσῷ

4 Ἐν τῇ Οἴτῃ] Œta Mons Thessal. morte et sepulchro Herculis clarus. Vid. Apollod. lib. 2. cap. 6.

5 Τὸν βίον] Βίος eodem modo, quo *vita* apud Romanos, interdum significat ipsos *homines*. Lucret. I. 64.

Humana ante oculus fœdè cum vita jaceret
In terris oppressa gravi sub religione. Hemsterhuis.

6 Διεφθαρμένος τῷ σώματι] Subaud. ἐν vel ἐπί. τὸ χιτῶνος verò ad vestem, quam ex Deianirâ acceperat, hydræ veneno infectam, τὸ πυρὸς ad rogum, quem in Œtâ conscenderat, respicit.

7 Εἰ καὶ μηδὲν ἄλλο] Ἑλληνιστικῶς dicitur pro εἰ καὶ μηδὲν ἄλλο ἐπιδέδειγμαι, vel εἰ καὶ κατὰ μηδὲν ἄλλο σου ἀμείνων εἰμί.

8 Ὑπὸ τῆς Ὀμφάλης] Omphale fuit Lydiæ regina, cui, sive oraculo jussus, sive amore captus, per triennium servivit Hercules.

σανδάλῳ· ἀλλ' ἐδὲ μελαγχολήσας ἀπέκ]εινα [9] τὰ τέκνα, καὶ τὴν γυναῖκα. ΗΡΑ. Εἰ μὴ παύσῃ λοιδορέμενος μοι, αὐτίκα μάλα εἴσῃ, ὡς ἐ πολύ σε ὀνήσει ἡ ἀθανασία· ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τῦ ἐρανῦ, ὥςε μηδὲ τὸν Παιήονα ἰάσασθαί σε τὸ κρανίον συν]ριβέν]α. Ζ. Παύσασθε, φημὶ, καὶ μὴ ἐπι]αράτ]ε]ε ἡμῖν τὴν ξυνεσίαν, ἢ ἀμφο]έρες ἀποπέμψομαι ὑμᾶς τῦ συμποσίε. Καίτοι εὔγνωμον, ὦ Ἡρακλές, προκα]ακλίνεσθαί σε τὸν Ἀσκληπιὸν, ἅτε καὶ πρότερον ἀποθανόν]α.



DIALOG. IV.

ΔΙΟΓΕΝΟΥΣ καὶ ΠΟΛΥΔΕΥΚΟΥΣ.

ΔΙΟΓΕΝΗΣ.

Ω Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιςα ἀνέλθῃς, [o] σὸν γάρ ἐςιν, οἶμαι, τὸ ἀναβιῶναι αὔριον,

9 Τὰ τέκνα] Deicoontem scilicet, Therimachum, cæterosque quos ex Megarâ genuit. Vid. Natal. Com. lib. VII. τὴν γυναῖκα δὲ ipsam Megaram respicit. Vid. Eurip. Herc. Furens. Act. 4.

o Σὸν γάρ ἐςιν, &c.] Castor et Pollux erant Gemini, Hic Jovis ex Ledâ sub cygni formâ compressâ, Ille Tydarei Filius; nam quâ nocte Jupiter cum Ledâ, eâdem cum eâ rem habuit Tyndareus: Hinc evenit ut Castor et Clytemnestra, ex altero

ανω

αὔριον, ἤν που ἴδῃς [1] Μένιππον τὸν κύνα (εὕροις δ' ἂν αὐτὸν [2] ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον, ἢ ἐν Λυκείῳ, τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα), εἰπεῖν πρὸς αὐτὸν, [3] ὅτι σοι, ὦ Μένιππε, κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς [4] τὰ ὑπὲρ γῆς καταγεγέλασαι, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον. Ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοι ἔτι ὁ γέλως ἦν, [5] καὶ πολὺ τὸ, τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; ἐνταῦθα δὲ, οὐ παύσῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν· καὶ μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους, καὶ σατράπας, καὶ τυράννους, οὕτω ταπεινοὺς, καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγινωσκομένους· καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι, μεμνημένοι τῶν ἄνω. Ταῦτα λέγε αὐτῷ· καὶ

ovo prognati, mortales fuerint, Pollux verò et Helena ex altero, immortales. Verum ubi obiit Castor, ferunt Pollucem à Jovi impetrâsse, ut immortalitatem suam cum fratre posset partiri; unde alternatim mori dicuntur et reviviscere. Vid. Apoll. lib. 3. c. 9. et Virg. Æn. 6.

Si fratrem Pollux alternâ morte redemit,
Itaque reditque viam toties.———

1 Μένιππον] E Cynicis philosophis erat Menippus. Vid. Diog. Laert. lib. 6.

2 Ἐν Κορίνθῳ, &c.] Corinthus urbs Achaiæ ferè medio Isthmi Peloponnesiaci sita. Craneum erat Corinthi, Lyceum prope Athenas, Gymnasium.

3 Ὅτι σοι] Ὅτι redundat cum alicujus verba referuntur. Viger.

4 Τὰ ὑπὲρ γῆς] Subaud. πεπραγμένα.

5 Καὶ πολὺ τὸ] Subaud. ἐν λόγοις ἐστὶ, *in ore hominum est,* aut aliquid ejusmodi.

προσέτι

προσέτι ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τοῦ πολλῶν, καὶ εἴ που εὕροι ἐν τῇ τριόδῳ [6] Ἑκάτης δεῖπνον κείμενον, [7] ἢ ᾠὸν ἐκ καθαρσίου, ἤ τι τοιοῦτο.

2. ΠΟ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες. ὅπως δὲ εἰδῶ μάλιστα, ὁποῖός τίς ἐστι τὴν ὄψιν; ΔΙ. Γέρων, φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον· γελᾷ δ' ἀεὶ, καὶ [8] τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει. ΠΟ. Ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων. ΔΙ. Βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλοσόφους; ΠΟ. Λέγε. Οὐ βαρὺ γὰρ

6 Ἑκάτης δεῖπνον] Quid significet Ἑκάτης δεῖπνον, ostendit Aristoph. in Pluto Glossographus: κατὰ δὲ νεμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὡς θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις· οἱ δὲ πένητες (addo et Cynicos) ἤρχοντο πεινῶντες, καὶ ἤσθιον αὐτὰ, καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτα.. Vid. Brodæi Misc. lib. 1. c. xxiv.

7 Ἢ ᾠὸν ἐκ καθαρσίου] Καθάρσιον Græcis expiatio quædam erat, quâ totas plerumque insulas (ut de Delo apud Herodotum et Thucydidem legimus) urbes, conciones, theatra, exercitum lustrabant, ad quam ritè peragendam apta erant admodum ova. Ovid. in Art.

Et veniat quæ lustret anus lectumque locumque.
Præferat et tremula sulphur et ova manu.

——*nisi se centum lustraverit ovis.* Juv. Sat. 6. cæterum sive quis animalibus sive ovis ad expiationem usus esset, his vesci nefas existimabat, teste περὶ τῆς ἱερῆς νόσου Hippocrate. Quam superstitionem Cynici parum curantes ea foras projecta helluari consueverant. Brod. Misc. lib. 1. c. xxv.

8 Τὰ πολλὰ] Integrè κατὰ τὰ πολλὰ ῥήματα.

οὐδὲ τοῦτο. ΔΙ. [9] Τὸ μὲν ὅλον, παύσασθαι αὐτοῖς παρεγγύα ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι, [o] καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρωτᾷν διδάσκουσι τοὺς νέους. ΠΟ. Ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν. ΔΙ. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε. ΠΟ. Καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ.

5. ΔΙ. Τοῖς πλουσίοις δὲ, ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελλε ταῦτα παρ' ἡμῶν· τί, ὦ μάταιοι, τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς, λογιζόμενοι τοὺς τόκους, καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας, [1] ἥκειν μετ' ὀλίγον; ΠΟ. Εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους. ΔΙ.

9 Τὸ ὅλος] Pro ὡς τὸ ὅλον εἰπεῖν.

o Καὶ κέρατα, &c.] Per κέρατα captiosos syllogismos ad hunc modum conflatos intelligi Lucianus, εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις. Crocodilus sophisma ex fabulâ hujusmodi nomen habet. Mulier quædam Ægyptia secus Nili ripas puerum errabundum à Crocodilo ablatum sensit, rogat ea Crocodilum, ut reddere filium dignetur. Crocodilus respondet, *se redditurum, si verum diceret.* Illa autem dixit, *Non mihi reddes.* Conditio sane inexplicabilis erat propterea quod hujus orationis veritas ex voluntate Crocodili penderet. Quintil. lib. 1. Ceratinas et Crocodilinas appellat ambiguitates. Brodæus. lib 11. Misc. c. 3.

1 Ἥκειν μετ' ὀλίγον] Ἑλληνιστικῶς dicitur pro ἥκειν εἰς ᾅδου οἶκον μετ' ὀλίγον χρόνον.

Ἀλλὰ

Ἀλλὰ καὶ τοῖς καλοῖς γε καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ, καὶ Δαμοξένῳ τῷ παλαιςῇ, ὅτι παρ᾽ ἡμῖν ὔτε ἡ ξανθὴ κόμη, ὔτε τὰ χαροπὰ ἢ μέλανα ὄμματα, ἢ ἐρύθημα ἐπὶ τȣ͂ προσώπȣ ἔτι ἐςὶν, ἢ νεῦρα εὔτονα, ἢ ὦμοι καρτεροί· ἀλλὰ πάντα μία ἡμῖν κόνις, φασὶ, κρανία γυμνὰ τȣ͂ κάλλȣς. ΠΟ. Οὐ χαλεπὸν ὐδὲ ταῦτα εἰπεῖν πρὸς τȣ̀ς καλȣ̀ς καὶ ἰσχυρȣ̀ς.

4. ΔΙ. Καὶ τοῖς πένησιν, [2] ὦ Λάκων, (πολλοὶ δ᾽ εἰσὶ, καὶ ἀχθόμενοι τῷ πράγματι, καὶ οἰκτείροντες τὴν ἀπορίαν) λέγε μήτε δακρύειν, μήτ᾽ οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν· καὶ ὅτι ὄψονται τȣ̀ς ἐκεῖ πλȣσίȣς ὐδὲν ἀμείνȣς αὐτῶν. Καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς, ταῦτα, εἰ δοκεῖ, παρ᾽ ἐμȣ͂ ἐπιτίμησον, λέγων ἐκλελύσθαι αὐτȣ́ς. ΠΟ. Μηδὲν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε· ὐ γὰρ ἀνέξομαί γε· ἃ δὲ πρὸς τȣ̀ς ἄλλȣς ἔφησθα, ἀπαγγελῶ. ΔΙ. Ἐάσωμεν δὲ τȣ́τȣς, ἐπεί σοι δοκεῖ· σὺ δὲ, οἷς προεῖπον, ἀπένεγκαι παρ᾽ ἐμȣ͂ τȣ̀ς λόγȣς.

2 Ὦ Λάκων] Filius erat Λήδας τῆς Κακαίτης. Schol. cur autem Diogenes paulo post τοῖς σοῖς Λακεδαιμονίοις dicat, hoc in causâ est, quod Lacedæmonii Castorem et Pollucem pro Diis Patriis habuerint. Vid. Nat. Com. lib. 8.

DIALOG.



Dialog. V.

ΠΛΟΥΤΩΝ, ἢ κατὰ ΜΕΝΙΠΠΟΥ.

ΚΡΟΙΣΟΣ.

Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον [a] τουτονὶ τὸν κύνα παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. ΠΛ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν; ΚΡ. Ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς. Καὶ ὅλως, λυπηρός ἐστι. ΠΛ. Τί ταῦτά φασιν; ὦ Μένιππε. ΜΕ. Ἀληθῆ, ὦ Πλούτων. Μισῶ γὰρ αὐτοὺς, ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας· οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω. Χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. ΠΛ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι. ΜΕ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; ΠΛ. Οὐδαμῶς· ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς.

a Τουτονὶ] Demonstrativis additur in contextu orationis ι acutum ad vim significationis intendendam. Vid. Scot Gramm.

2. ΜΕ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, ὅτω γινώσκετε ὡς ὀδὲ παυσομένε με· ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν, καὶ κατάδων, καὶ καταγελῶν. ΚΡ. Ταῦτα ὀχ ὕβρις; ΜΕ. Οὐκ· ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. Τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. ΚΡ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων. ΜΙ. Ὅσου μὲν ἐγὼ χρυσοῦ! ΣΑΡ. Ὅσης δὲ ἐγὼ τρυφῆς! ΜΕ. Εὖγε· ὅτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς. ἐγὼ δὲ, τὸ ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ πολλάκις συνείρων, ἐπάσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπαδόμενον.

✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠

Dialog. VI.

ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΧΟΥ, καὶ ΤΡΟΦΩΝΙΟΥ.

ΜΕΝΙΠΠΟΣ.

ΣΦΩ, μέντοι, [4] ὦ Τροφώνιε καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες, ὀκ οἶδ' ὅπως ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεὸς ὑμᾶς ὑπειλήφασιν

4 Ὦ Τροφώνιε καὶ Ἀμφίλοχε] Trophonius et Amphilochus erant vates, de primo Schol. ὅτος ἔφυλι τῶ παρ' Ἕλλησι νομισθῆναι Θεὸς, σπήλαιόν τι ζοφῶδες ὑπελθὼν, λιμῷ ἐκεῖσε διεφθάρη, καὶ τὴν ζωὴν ἀθλίως κατέστρεψε. Quod autem post mortem pro Deo habitus fuerit,

ὑπειλήφασιν εἶναι. ΑΜ. Τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν; ΜΕ. Ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τὰ μέλλοντα προειδότες, καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις. ΤΡ. Ὦ Μένιππε, Ἀμφίλοχος μὲν οὗτος ἂν εἰδείη ὅ, τι αὐτῷ ἀποκριτέον ὑπὲρ αὐτοῦ· ἐγὼ δὲ ἥρως εἰμὶ, καὶ μαντεύομαι, ἤν τις κατέλθοι παρ' ἐμέ. Σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τοπαράπαν· οὐ γὰρ ἠπίστεις σὺ τούτοις.

2. ΜΕ. Τί φῄς; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσταλμένος ταῖς ὀθόναις, γελοίως μάζαν ἐν ταῖν χεροῖν ἔχων, ἐσερπύσω διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἐδυνάμην εἰδέναι, ὅτι νεκρὸς εἶ, ὥσπερ ἡμεῖς, μόνῃ τῇ γοητείᾳ διαφέρων; [5] ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δὲ ὁ ἥρως ἐστίν; ἀγνοῶ γάρ. ΤΡ. Ἐξ ἀνθρώπου τι καὶ Θεοῦ σύνθετον. ΜΕ. Ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε Θεὸς, καὶ συναμφότερόν ἐστι. Νῦν οὖν ποῦ σου τὸ Θεοῦ ἐκεῖνο [6] ἡμίτομον ἀπελήλυθε; ΤΡ. Χρᾷ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ. ΜΕ. Οὐκ

fuerit, et Lebadiæ Bœotiæ oppidi sub Jovis Trophonii nomine cultus. Vid. Pausan. in Bœoticis, et Strab. lib. IX —De Amphilocho autem Amphiarai et Eriphyles Filio Vid. Pausaniam, qui in libro de Atticis rebus, *Amphilochi in Atheniensium urbe ara est, et in Ciliciæ loco Mallo oraculum, meâ ætate omnium verissimum.*

5 Ἀλλὰ πρὸς τῆς μαντικῆς] Subaud. τέχνης.

6 Ἡμίτομον] Scilicet. μέρος.

Q 2 οἶδα

2. ΜΕ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε ὡς οὐδὲ παυσομένου μου· ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν, καὶ κατᾴδων, καὶ καταγελῶν. ΚΡ. Ταῦτα οὐχ ὕβρις; ΜΕ. Οὐκ· ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. Τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. ΚΡ. Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. ΜΙ. Ὅσου μὲν ἐγὼ χρυσοῦ! ΣΑΡ. Ὅσης δὲ ἐγὼ τρυφῆς! ΜΕ. Εὖγε· οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς. ἐγὼ δὲ, τὸ ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

Dialog. VI.

ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΧΟΥ, καὶ ΤΡΟΦΩΝΙΟΥ.

ΜΕΝΙΠΠΟΣ.

ΣΦΩ μέντοι, [4] ὦ Τροφώνιε καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες, οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεοὺς ὑμᾶς ὑπειλήφασιν

4 Ὦ Τροφώνιε καὶ Ἀμφίλοχε] Trophonius et Amphilochus erant vates, de primo Schol. οὗτος ἱερὸν τοῦ παρ' Ἕλλησι νομισθῆναι θεὸς, σπήλαιόν τι ζοφῶδες ὑπελθὼν, λιμῷ ἐκεῖσε διεφθάρη, καὶ τὴν ζωὴν ἀθλίως κατέστρεψε. Quod autem post mortem pro Deo habitus fuerit,

ὑπειλήφασιν εἶναι. ΑΜ. Τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν; ΜΕ. Ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τὰ μέλλοντα προειδότες, καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις. ΤΡ. Ὦ Μένιππε, Ἀμφίλοχος μὲν οὗτος ἂν εἰδείη ὅ, τι αὐτῷ ἀποκριτέον ὑπὲρ αὐτοῦ· ἐγὼ δὲ ἥρως εἰμὶ, καὶ μαντεύομαι, ἤν τις κατέλθοι παρ' ἐμέ. Σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τοπαράπαν· οὐ γὰρ ἠπίστεις σὺ τούτοις.

2. ΜΕ. Τί φῄς; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσταλμένος ταῖς ὀθόναις, γελοίως μάζαν ἐν ταῖν χεροῖν ἔχων, ἐσερπύσω διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἐδυνάμην εἰδέναι, ὅτι νεκρὸς εἶ, ὥσπερ ἡμεῖς, μόνῃ τῇ γοητείᾳ διαφέρων; [5] ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δὲ ὁ ἥρως ἐστίν; ἀγνοῶ γάρ. ΤΡ. Ἐξ ἀνθρώπου τι καὶ Θεοῦ σύνθετον. ΜΕ. Ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε Θεὸς, καὶ συναμφότερόν ἐστι. Νῦν οὖν ποῦ σου τὸ Θεοῦ ἐκεῖνο [6] ἡμίτομον ἀπελήλυθε; ΤΡ. Χρᾷ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ. ΜΕ. Οὐκ

fuerit, et Lebadiæ Bœotiæ oppidi sub Jovis Trophonii nomine cultus. Vid. Pausan. in Bœoticis, et Strab. lib. IX —De Amphilocho autem Amphiarai et Eriphyles Filio Vid. Pausaniam, qui in libro de Atticis rebus, *Amphilochi in Atheniensium urbe ara est, et in Ciliciæ loco Mallo oraculum, meâ ætate omnium verissimum.*

5 Ἀλλὰ πρὸς τῆς μαντικῆς] Subaud. τέχνης.

6 Ἡμίτομον] Scilicet. μέρος.

οἶδα, ὦ Τροφώνιε, ὅ, τι καὶ λέγεις· ὅτι μέντοι ὅλος εἶ νεκρὸς, ἀκριβῶς ὁρῶ.



Dialog. VII.

ΕΡΜΟΥ καὶ ΧΑΡΩΝΟΣ.

ΕΡΜΗΣ.

ΛΟΓΙΣΩ'ΜΕΘΑ, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. ΧΑ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὁρίσαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. ΕΡ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν. ΧΑ. Πολλοῦ λέγεις. ΕΡ. Νὴ τὸν Αϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν. ΧΑ. Τίθει πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο. ΕΡ. [7] Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον. ΧΑ. Καὶ τούτους προστίθει. ΕΡ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους δὲ, καὶ καλώδιον, ἀφ' οὗ τὴν [8] ὑπέραν ἐποίησας, δύο δραχμῶν ἄπαντα. ΧΑ. Εὖγε, ἄξια ταῦτα ὠνήσω. ΕΡ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. Πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῄς;

7 Καὶ ἀκέστραν, &c.] Subaud. ὠνησάμην.

8 Ὑπέραν] Ὑπέρα est funis nauticus, quo antennarum cornua transferuntur, seu tenduntur, seu laxantur.

2. ΧΑ.

2. ΧΑ. Νῦν μὲν, ὦ Ἑρμῆ, ἀδύνατον· ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόως τινὰς, ἐνέσται τότε ἀποκερδάναι ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμία. ΕΡ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύοιμι. ΧΑ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. Νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ. ΕΡ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. Πλὴν ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεω, καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ, ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα, καὶ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγεννεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις· οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. ΧΑ. Πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα. ΕΡ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.



DIALOG. VIII.

ΠΛΟΥΤΩΝΟΣ καὶ ΕΡΜΟΣ.

ΠΛΟΥΤΩΝ.

ΤΟ'Ν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσίν, οἱ τὸν κλῆρον δὲ θηρῶντες, πεντακισμύριοι; ΕΡ. Ναί, τὸν Σικυώνιον φῄς· τί οὖν; ΠΛ. Ἐκεῖνον μέν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐννενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἴ γε οἷόν τε ἦν, καὶ ἔτι πλείω. τοὺς δέ γε κόλακας αὐτοῦ, Χαρῖνον τὸν νέον, καὶ Δάμωνα, καὶ τοὺς ἄλλους, κατάσπασον ἐφεξῆς ἅπαντας. ΕΡ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον. ΠΛ. Οὐμενοῦν, ἀλλὰ δικαιότατον. [9] Τί γὰρ ἐκεῖνοι παθόντες εὔχονται ἀποθανεῖν ἐκεῖνον; ἢ τῶν χρημάτων ἀντιποιοῦνται, οὐδὲν προσήκοντες; ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν [o] ἔν γε τῷ φανερῷ· καὶ νοσοῦντος, ἃ μὲν βουλεύονται, πᾶσι πρόδηλα· θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ· καὶ ὅλως, ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. Διὰ ταῦτο, ὁ μὲν ἔστω ἀθάνατος. οἱ δὲ προαπίτωσαν αὐτοῦ μάτην ἐπιχανόντες.

9 Τί παθόντες] Atticum dicendi genus pro simplice τί, ideoque *quorsum* redditur, verbatim *quid passi, quo affecti incommodo.*

o Ἐν τῷ φανερῷ] Subaud. τόπῳ.

2. ΕΡ.

2. ΕΡ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες. Πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς, καὶ ἐπελπίζει· καὶ ὅλως, ἀεὶ θανόντι ἐοικὼς, ἔῤῥωται πολὺ μᾶλλον τῶν νέων· Οἱ δὲ, ἤδη τὸν κλῆρον ἐν σφίσι διῃρημένοι, βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες. ΠΛ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας, ὥσπερ [1] Ἰόλεως, ἀνηβησάτω· οἱ δ' ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες. ΕΡ. Ἀμέλησον, ὦ Πλοῦτων· μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς. Ἑπτὰ δὲ, οἶμαι, εἰσί. ΠΛ. Κατάσπα· ὁ δὲ παραπέμψει ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱

DIALOG. IX.

ΧΑΡΩΝΟΣ, καὶ ΕΡΜΟΥ, καὶ ΝΕΚΡΩΝ ΔΙΑΦΟΡΩΝ.

ΧΑΡΩΝ.

ΑΚΟΥΣΑΤΕ ὡς ἔχει ὑμῖν τὰ πράγματα. Μικρὸν μὲν ἡμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον, καὶ ὑπόσαθρόν ἐστιν, καὶ διαῤῥεῖ τὰ πολλά· καὶ ἢν τραπῇ ἐπὶ θάτερα,

[1] Ἰόλεως] Iphicli F. qui Herculi Hydram interficienti adfuit, ferroque candente cruorem cohibuit, ne alia ex eo capita suppullularent. Hic cum ætate longè provectus fuerit, Herculis precibus juventuti restitutus est. Vid. Ov. Met. lib. 9.

θάτερα, οἰχήσεται περιτραπέν· ὑμεῖς δὲ, τοσοῦτοι ἅμα ἥκετε, πολλὰ ἐπιφερόμενοι ἕκαστος· ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσετε· καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε. ΝΕ. Πῶς οὖν ποιήσαντες εὐπλοήσομεν; ΧΑ. Ἐγὼ ὑμῖν φράσω· γυμνοὺς ἐπιβαίνειν χρὴ, τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠϊόνος καταλιπόντας. μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. Σοὶ δὲ, ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ, καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. Παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς, διαγίνωσκε αὐτοὺς, καὶ ἀναλάμβανε, γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων. ΕΡ. Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν.

2. Οὑτοσὶ τίς ὁ πρῶτός ἐστι; ΜΕ. Μένιππος ἔγωγε. Ἀλλ' ἰδοὺ ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον, ἐς τὴν λίμνην [2] ἀπορρίφθων. Τὸν τρίβωνα δὲ οὐδ' ἐκόμισα, εὖ ποιῶν. ΕΡ. Ἔμβαινε, ὦ Μένιππε, ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν ἔχε παρὰ τὸν κυβερνήτην ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας.

3. Ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα ἔχων, ὁ βλοσυρὸς, τίς ὢν τυγχάνεις; ΛΑ. Λάμπιχος,

2 Ἀπορρίφθων] Pro ἀπορριφθήτων (quæ est 2da pers. dual. Imp. ad aorist. primo ἀπορρίφθητι) per Syncopen ponitur: in uno autem Codice Lugduni edito ἀπερρίφθων legitur, quæ est secunda persona dual. Imperat. à perfecto ἀπέρριμμαι.

Γελώων

[3] Γελώων τύραννος. ΕΡ. Τί οὖν, ὦ Λάμπιχε, τοσαῦτα ἔχων πάρει; ΛΑ. Τί οὖν ἐχρῆν, ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄνδρα; ΕΡ. Τύραννον μὲν οὐδαμῶς, νεκρὸν δὲ μάλα· ὥστε ἀπόθου ταῦτα. ΛΑ. Ἰδού σοι ὁ πλοῦτος ἀπέῤῥιπται. ΕΡ. Καὶ τὸν τῦφον ἀπόῤῥιψον, ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν· βαρήσει γὰρ τὸ πορθμεῖον συνεμπεσόντα. ΛΑ. Οὐκοῦν ἀλλὰ τὸ διάδημα ἐασόν με ἔχειν, καὶ τὴν ἐφεστρίδα. ΕΡ. Οὐδαμῶς· Ἀλλὰ καὶ ταῦτα ἄφες. ΛΑ. Εἶεν· τί ἔτι; πάντα γὰρ ἀφῆκα, ὡς ὁρᾷς. ΕΡ. Καὶ τὴν ὠμότητα, καὶ τὴν ἄνοιαν, καὶ τὴν ὕβριν, καὶ τὴν ὀργὴν, καὶ ταῦτα ἄφες. ΛΑ. Ἰδού σοι ψιλός εἰμι. ΕΡ. Ἔμβαινε ἤδη.

4. Σὺ δὲ ὁ παχὺς, ὁ πολύσαρκος, τίς εἶ; ΔΑ. Δαμασίας ὁ ἀθλητής. ΕΡ. Ναὶ ἔοικας. Οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών. ΔΑ. Ναὶ, ὦ Ἑρμῆ· ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα. ΕΡ. Οὐ γυμνὸν, ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον· ὥστε ἀπόδυθι αὐτὰς, ἐπεὶ καταδύσεις τὸ σκάφος, τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον. Ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόῤῥιψον, καὶ τὰ κηρύγματα. ΔΑ. Ἰδού σοι γυμνὸς, ὡς ὁρᾷς, ἀληθῶς εἰμι, καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς. ΕΡ. Οὕτως ἄμεινον ἀβαρῆ εἶναι· ὥστε ἔμβαινε·

3 Γελώων] Geloi erant Siciliæ populus. Vid. Diod. Sic. lib. XIII.

5. Καὶ σὺ δὲ τὸν πλοῦτον ἀποθέμενος, ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι, καὶ τὴν τρυφὴν, μηδὲ [4] τὰ ἐντάφια κόμιζε, μηδὲ τὰ τῶν προγόνων ἀξιώματα· κατάλιπε δὲ καὶ γένος, καὶ δόξαν, καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξεν εὐεργέτην δηλονότι, καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφὰς, μηδὲ ὅτι μέγαν τάφον ἐπί σοι ἔχωσαν, λέγε· βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα. ΚΡ. Οὐχ ἑκὼν μὲν, ἀποῤῥίψω δέ. Τί γὰρ ἂν καὶ πάθοιμι;

6. ΕΡ. Βαβαί. Σὺ δὲ ὁ ἔνοπλος, τί βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις; ΝΕΚ. Ὅτι ἐνίκησα, ὦ Ἑρμῆ, καὶ ἠρίστευσα, καὶ ἡ πόλις ἐτίμησέ με. ΕΡ. Ἄφες ἐν γῇ τὸ τρόπαιον· ἐν ᾅδου γὰρ εἰρήνη, καὶ οὐδὲν ὅπλων δεήσει.

7. Ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος, καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκὼς, ὁ ἐπὶ τῶν φροντίδων, τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος; ΜΕ. Φιλόσοφός τις, ὦ Ἑρμῆ· μᾶλλον δὲ, γόης, καὶ τερατείας μεστός· ὥστε ἀπόδυσον καὶ τοῦτον· ὄψει γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ κρυπτόμενα. ΕΡ. Κατάθου σὺ τὸ σχῆμα πρῶτον· εἶτα καὶ ταυτὶ πάντα. Ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν, κομίζει! ὅσην δὲ ἀμαθίαν, καὶ ἔριν, καὶ κενοδοξίαν, καὶ ἐρωτήσεις ἀπόρους, καὶ λόγους ἀκανθώδεις, καὶ ἐννοίας πολυπλόκους! ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολλὴν, καὶ λῆρον οὐκ ὀλίγον, καὶ ὕθλους, καὶ μικρολογίαν.

4. Τὰ ἐντάφια] Subaud. κοσμήματα.

Νὴ Δία, καὶ χρυσίον γε τουτὶ, καὶ ἡδυπάθειαν δὲ, καὶ ἀναισχυντίαν, καὶ ὀργὴν, καὶ τρυφὴν, καὶ μαλακίαν· οὐ λέληθε γάρ με, εἰ καὶ μάλα περικρύπτεις αὐτά. Καὶ τὸ ψεῦδος δὲ ἀπόθου, καὶ τὸν τῦφον, καὶ τὸ οἴεσθαι ἀμείνω εἶναι τῶν ἄλλων· ὡς εἴ γε πάντα ταῦτα ἔχων ἐμβαίνοις, ποία πεντηκόντορος δέξαιτο ἄν σε; ΦΙΛ. Ἀποτίθεμαι τοίνυν αὐτὰ, ἐπείπερ οὕτω κελεύεις.

8. ΜΕ. Ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω, ὦ Ἑρμῆ, βαρύν τε ὄντα, καὶ λάσιον, ὡς ὁρᾷς· πέντε μνῶν τρίχες εἰσὶ τοὐλάχιστον. ΕΡ. Εὖ λέγεις. Ἀπόθου καὶ τοῦτον. ΦΙΛ. Καὶ τίς ὁ ἀποκείρων ἔσται; ΕΡ. Μένιππος οὑτοσὶ λαβὼν πέλεκυν [5] τῶν ναυπηγικῶν ἀποκόψει αὐτὸν, [6] ἐπικόπῳ τῇ ἀναβάθρᾳ χρησάμενος. ΜΕ. Οὐκ, ὦ Ἑρμῆ· ἀλλὰ πρίονά μοι ἀνάδος· γελοιότερον γὰρ τοῦτο. ΕΡ. Ὁ πέλεκυς ἱκανός· εὖγε, ἀνθρωπινώτερον γὰρ νῦν ἀναπέφηνας, ἀποθέμενος αὐτοῦ τὴν κινάβραν. ΜΕ. Βούλει μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων; ΕΡ. Μάλιστα· ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῇρκεν, οὐκ οἶδ' ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. Τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ' οὖν. ΜΕ. Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει. ΕΡ. Τί; ὦ Μένιππε. ΜΕ.

5 Τῶν ναυπηγικῶν] Subaud. ἐκ vel ἀπό.
6 Ἐπικόπῳ] Sic vocat truncum, super quo aliquid dissecatur. Bourdel. Anglicè, a *Block*.

Κολακείαν, ὦ Ἑρμῆ, πολλὰ ἐν τῷ βίῳ χρησιμευσάσαν αὐτῷ. ΦΙΛ. Οὐκοῦν καὶ σὺ, ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν, καὶ παῤῥησίαν, καὶ τὸ ἄλυπον, καὶ τὸ γενναῖον, καὶ τὸν γέλωτα. Μόνος γοῦν τῶν ἄλλων γελᾷς; ΕΡ. Μηδαμῶς. Ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ εὔφορα ὄντα, καὶ πρὸς τὸν κατάπλουν χρήσιμα.

9. Καὶ ὁ ῥήτωρ δὲ σὺ, ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀπεραντολογίαν, καὶ ἀντιθέσεις, καὶ παρισώσεις, καὶ περιόδους, καὶ βαρβαρισμοὺς, καὶ τἄλλα βάρη τῶν λόγων. ΡΗ. Ἢν ἰδοὺ, ἀποτίθεμαι. ΕΡ. Εὖ ἔχει. Ὥστε λύε [7] τὰ ἀπόγεια· τὴν ἀποβάθραν ἀνελώμεθα· τὸ ἀγκύριον ἀνεσπάσθω· πέτασον τὸ ἱστίον· εὔθυνε, ὦ πορθμεῦ, τὸ πηδάλιον· εὖ πάθωμεν.

10. Τί οἰμώζετε, ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ, ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος; ΦΙΛ. Ὅτι, ὦ Ἑρμῆ, ἀθάνατον ᾤμην τὴν ψυχὴν ὑπάρχειν. ΜΕ. Ψεύδεται· ἄλλα γὰρ ἔοικε λυπεῖν αὐτόν. ΕΡ. Τὰ ποῖα; ΜΕ. Ὅτι μηκέτι δειπνήσει πολυτελῆ δεῖπνα, μηδὲ νύκτωρ ἐξιὼν, ἅπαντας λανθάνων, τῷ ἱματίῳ τὴν κεφαλὴν κατειλήσας, περίεισιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα· καὶ ἕωθεν ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ, ἀργύριον λήψεται. Ταῦτα λυπεῖ αὐτόν. ΦΙΛ.

7 Τὰ ἀπόγεια] Subaud. σχοινία.

Σὺ

Σὺ δέ, ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών; ΜΕ. Πῶς, ὃς ἔσπευσα ἐπὶ τὸν θάνατον, καλέσαντος μηδενός;

11. Ἀλλὰ μεταξὺ λόγων, οὐ κραυγή τις ἀκούεται ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων; ΕΡ. Ναί, ὦ Μένιππε· οὐκ ἀφ' ἑνός γε χώρου· ἀλλ' οἱ μέν, ἐς τὴν ἐκκλησίαν συνελθόντες, ἄσμενοι γελῶσι πάντες ἐπὶ τῷ Λαμπίχου θανάτῳ· καὶ ἡ γυνὴ αὐτοῦ συνέχεται πρὸς τῶν γυναικῶν· καὶ τὰ παιδία νεογνὰ ὄντα, ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνοις τοῖς λίθοις· ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι, ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τούτῳ· καὶ νὴ Δία γε ἡ Δαμασίου μήτηρ κωκύουσα ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ· σὲ δὲ οὐδείς, ὦ Μένιππε, δακρύει, καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος.

12. ΜΕ. Οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ' ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ' ἐμοί, καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπότ' ἂν συνελθόντες θάπτωσί με. ΕΡ. Γεννάδας εἶ, ὦ Μένιππε. Ἀλλ' ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲ ἄπιτε πρὸς τὸ δικαστήριον, [8] εὐθεῖαν ἐκείνην προϊόντες, ἐγὼ δέ, καὶ ὁ πορθμεύς, ἄλλους μετελευσόμεθα. ΜΕ. Εὐπλοεῖτε, ὦ Ἑρμῆ. Προΐωμεν δὲ καὶ ἡμεῖς. Τί οὖν ἔτι καὶ μέλλετε; δικασθῆναι δεήσει· καὶ τὰς καταδίκας φασὶν εἶναι βα-

8 Εὐθεῖαν ἐκείνην] Subaud. ὁδόν.

ρείας,

ρείας, τροχοὺς, καὶ γῦπας, καὶ λίθους. Δειχθήσεται δὲ ὁ ἑκάστου βίος.



Dialog. IV.

ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ, καὶ ΣΚΗΠΙΩΝΟΣ.

ΑΛΕΞΑΝΔΡΟΣ.

ἘΜΕ' δεῖ προκεκρῖσθαί σου, ὦ Λίβυ· ἀμείνων γάρ εἰμι. ΑΝ. Οὔμενουν, ἀλλ' ἐμέ. ΑΛ. Οὐκοῦν ὁ Μίνως δικασάτω. ΜΙ. Τίνες δ' ἐστέ; ΑΛ. Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος· ἐγὼ δὲ, Ἀλέξανδρος ὁ Φιλίππου. ΜΙ. Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. Ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις; ΑΛ. Περὶ προεδρίας. φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ· ἐγὼ δὲ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια. ΜΙ. Οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω. Σὺ δὲ πρῶτος, ὦ Λίβυ, λέγε.

2. ΑΝ. Ἓν μὲν τοῦτο, ὦ Μίνως, ὠνάμην, ὅτι ἐνταῦθα καὶ τὴν Ἑλλάδα φωνὴν ἐξέμαθον· ὥστε οὐδὲ ταύτῃ πλέον οὗτος ἐνέγκαιτό μου. Φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες,

ὅμως

ὅμως [9] ἐπὶ μέγα προεχώρησαν, δι' αὐτῶν δύναμίν τε περιβαλλόμενοι, καὶ ἄξιοι δόξαντες ἀρχῆς. Ἐγὼ γοῦν μετ' ὀλίγων ἐξορμήσας [0] ἐς τὴν Ἰβηρίαν, τὸ πρῶτον ὕπαρχος ὢν [1] τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην, ἄριστος κριθείς· καὶ τούς γε [2] Κελτίβηρας εἷλον, καὶ [3] Γαλατῶν ἐκράτησα τῶν Ἑσπερίων· καὶ [4] τὰ μεγάλα ὄρη ὑπερβὰς, [5] τὰ περὶ τὸν Ἠριδανὸν ἅπαντα κατέδραμον· καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις· καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην· καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον· καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι, καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. Καὶ ταῦτα πάντα ἔπραξα, [6] οὔτε Ἄμμωνος υἱὸς ὀνομαζόμενος, οὔτε Θεὸς εἶναι προσποιούμενος, ἢ ἐνύπνια τῆς μητρὸς διεξιὼν, ἀλλ' ἄνθρωπος, εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος, καὶ

9 Ἐπὶ μέγα] Subaud. χώριον.

0 Ἐς τὴν Ἰβηρίαν] V. Liv. XXI. c. V.

1 Τῷ ἀδελφῷ] Asdrubale, Amilcaris genero, sub quo Imperatore triennio meruit. Liv. lib. XXI. c. IV.

2 Κελτίβηρας] Ad Iberum Hisp. fluv. populus. Cogn.

3 Γαλατῶν] Galliæ Transalpinæ incolæ erant: quæ enim Romanis Gallia, Græcis Γαλατία appellatur, et ἑσπερία Γαλατία, ut à Galatiâ Asiaticâ (cujus incolæ hujus ἄποικοι) distinguatur.

4 Τὰ μεγάλα ὄρη] Alpes. Vid. Liv. lib. XXI, XXII, XXIII, ubi omnia videre est quæ sequuntur.

5 Περὶ τοῦ Ἠριδανὸν ἅπαντα] Elliptica est oratio, pro ἅπαντα τὰ χωρία τὰ περὶ τὸν Ἠριδανὸν ὄντα.

6 Οὔτε Ἄμμωνος, &c.] Hæc omnia Alexander. Vid. Just. lib. XI.

στρατιώταις

στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμενος· οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμενος ὑποφεύγοντας, πρὶν διώκειν τινὰ, καὶ τῷ τολμήσαντι παραδιδόντας εὐθὺ τὴν νίκην.

3. Ἀλέξανδρος δὲ, πατρῴαν ἀρχὴν παραλαβὼν, ηὔξησε, καὶ παραπολὺ ἐξέτεινε, χρησάμενος τῇ τῆς τύχης ὁρμῇ· ἐπεὶ δ' οὖν ἐνίκησέ τε, καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον [7] ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρῴων, προσκυνεῖσθαι ἠξίου, [8] καὶ ἐς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν ἑαυτὸν, καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις [9] τοὺς φίλους, καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. Ἐγὼ δὲ ἦρξα ἐπίσης τῆς πατρίδος· καὶ [0] ἐπειδὴ μετεπέμπετο, τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῆς Λιβύης, ταχέως ὑπήκουσα, καὶ ἰδιώτην ἐμαυτὸν παρέσχον· καὶ καταδικασθεὶς ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. Καὶ ταῦτ' ἔπραξα, βάρβαρος ὤν, καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς, [1] καὶ

7 Ἐν Ἰσσῷ, &c.] Issus urbs Ciliciæ, (ubi Alex. Darium vicit, ideoque Nicopolis ab eo dicta est) Arbela Persiæ civitas. V. Diod. Sic. lib. XVII.

8 Δίαιταν τὴν Μηδικὴν, &c.] Vid. Diod. Sic. lib. XII. Liv. l. IX.

9 Τοὺς φίλους] Cliti cædem tangit.

0 Ἐπειδὴ μετεπέμπετο] V. Liv lib. 30. cap. XX.

1 Καὶ ὅτι Ὅμηρον] Ἐφρόνει Ἀλέξανδρος μέγα ἐπὶ τῷ ἀπὸ στόματος προφέρειν τὴν Ἰλιάδα. Schol.

ὅτι

οὔτε Ὅμηρον, ὥσπερ οὗτος, ῥαψῳδῶν· [2] οὔτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθεὶς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. Ταῦτά ἐστιν, ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι· εἰ δ' ἐστι καλλίων οὑτοσὶ, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνά· οὐ μὴν διὰ τοῦτ' ἀμείνων δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρὸς, τῇ γνώμῃ πλέον ἤπερ τῇ τύχῃ κεχρημένου. ΜΙ. Ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον, [3] οὐδ' ὡς Λίβυν εἰκὸς ἦν ὑπὲρ αὐτοῦ. Σὺ δὲ, ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φής;

4. ΑΛ. Ἐχρῆν μὲν, ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασύν· ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεὺς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο. Ὅμως δὲ ὅρα, εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα· ὃς νέος ὢν ἔτι, παρελθὼν ἐπὶ τὰ πράγματα, καὶ τὴν [4] ἀρχὴν τεταραγμένην κατέσχον, καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, καταφοβήσας τὴν Ἑλλάδα [5] τῇ Θηβαίων ἀπωλείᾳ· στρατηγὴς ὑπ' αὐτῶν χειροτονηθεὶς, οὐκ ἠξίωσα τὴν Μακεδόνων ἀρχὴν περιέπων, ἀγαπᾷν ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν· ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν, καὶ δεινὸν ἡγησάμενος εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλί-

2 Οὔτε ὑπ' Ἀριστοτέλει, &c.] Aristotele præceptore per quinquennium Alexander usus est. Vid. Just. lib. XII.

3 Οὐδ' ὡς Λίβυν, &c.] Ut qui Barbarus fuerit.

4 Ἀρχὴν τεταραγμένην] Vid. Q. Curt. lib. 2.

5 Τῇ Θηβαίων ἀπωλείᾳ] Vid. Diod. Sic. lib. XVII. ubi videre est omnia quæ sequuntur.

γους ἄγων, ἐσέβαλον ἐς τὴν Ἀσίαν· καὶ ἐπί τε [6] Γρανικῷ ἐκράτησα μεγάλῃ μάχῃ· καὶ τὴν Λυδίαν λαβὼν, καὶ Ἰωνίαν, καὶ Φρυγίαν, καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος, ἦλθον ἐπὶ Ἰσσὸν, ἔνθα Δαρεῖος ὑπέμεινε, μυριάδας πολλὰς στρατοῦ ἄγων.

5. Καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα. Φησὶ γοῦν ὁ πορθμεὺς μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας διαπηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. Καὶ ταῦτα δὲ ἔπραττον, αὐτὸς προκινδυνεύων, καὶ τιτρώσκεσθαι ἀξιῶν. Καὶ ἵνα σοι μὴ τὰ ἐν Τύρῳ, μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσομαι, ἀλλὰ καὶ μέχρις Ἰνδῶν ἦλθον, καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς, καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον, καὶ [7] Πῶρον ἐχειρωσάμην· καὶ Σκύθας δὲ οὐκ εὐκαταφρονήτους ἄνδρας, ὑπερβὰς τὸν Τάναϊν, ἐνίκησα, μεγάλῃ ἱππομαχίᾳ· καὶ τοὺς φίλους εὖ ἐποίησα, καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. Εἰ δὲ καὶ Θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι, παρὰ τὸ μέγεθος τῶν πραγμάτων καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ.

6. Τὸ δ' οὖν τελευταῖον, ἐγὼ μὲν βασιλεύων ἀπέθανον·

[6] Γρανικῷ] Bithyniæ fluvio.
[7] Πῶρον] Indiæ regem.

θανον· οὗτος δὲ ἐν φυγῇ ὢν [8] παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν, πανουργότατον καὶ ὠμότατον ὄντα· ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν; ἐῶ λέγειν, ὅτι οὐκ ἰσχύϊ, ἀλλὰ πονηρίᾳ, καὶ ἀπιστίᾳ, καὶ δόλοις· [9] νόμιμον δὲ, ἢ προφανὲς, οὐδέν. Ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφὴν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίει [0] ἐν Καπύῃ, ἑταίραις συνὼν, καὶ τοὺς τοῦ πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. Ἐγὼ δὲ εἰ μὴ, μικρὰ τὰ ἑσπέρια δόξας, ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα, Ἰταλίαν ἀναιμωτὶ λαβὼν, καὶ Λιβύην, καὶ [1] τὰ μέχρι Γαδείρων ὑπαγόμενος; ἀλλ' οὐκ ἀξιόμαχα ἔδοκέ μοι ἐκεῖνα, ὑποπτήσσοντα ἤδη, καὶ δεσπότην ὁμολογοῦντα. Εἴρηκα, σὺ δὲ, ὦ Μίνως, δίκαζε. ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα.

7. ΣΚ. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. ΜΙ. Τίς γὰρ εἶ, ὦ βέλτιστε, ἢ πόθεν ὢν ἐρεῖς; ΣΚ. [2] Ἰταλιώτης Σκηπίων, στρατηγὸς, [3] ὁ καθελὼν Καρχηδόνα, καὶ

8 Παρὰ Προυσίᾳ] Bithyniæ regi, ad quem Annib. à Romanis victus se receperat; cæterùm postea à Romanis postulatus, et Prusiæ fidem suspectam habens, hausto, quod inclusum annulo gestabat, veneno se confecit. Vid. Liv. lib. 39. c. 51.

9 Νόμιμον δὲ, &c.] Subaud. ἐποίησε.

0 Ἐν Καπύῃ] Vid. Liv. 23. c. 17.

1 Τὰ μέχρι Γαδείρων] Subaud. χώρια et ἐκλελαμένα.

2 Σκηπίων Ἰταλιώτης] Scipio Africanus major.

3 Ὁ καθελὼν Καρχηδόνα] Καθελὼν hîc significat, *vici, expugnavi*.

καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. ΜΙ. Τί ἂν καὶ σὺ ἐρεῖς; ΣΚ. Ἀλεξάνδρȣ μὲν ἥττων εἶναι, τȣ̃ δ᾽ Ἀννίβȣ ἀμείνων· ὃς ἐδίωξα νικήσας αὐτὸν, [4] καὶ φυγεῖν καταναγκάσας ἀτίμως· πῶς ȣ̃ν ȣ̓κ ἀναίσχυντος ȣ̃τος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ ȣ̓δὲ Σκηπίων ἐγὼ, ὁ νενικηκὼς αὐτόν, παραβάλλεσθαι ἀξιῶ; ΜΙ. Νὴ Δί᾽ εὐγνώμονα φῂς, ὦ Σκηπίων. Ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος· μετ᾽ αὐτὸν δὲ, σύ· εἶτα, εἰ δοκεῖ, τρίτος Ἀννίβας, ȣ̓δὲ ȣ̃τος εὐκαταφρόνητος ὤν.



DIALOG. XI.

ΔΙΟΓΕΝΟΥΣ καὶ ΑΛΕΞΑΝΔΡΟΥ.

ΔΙΟΓΕΝΗΣ.

ΤΙ᾽ τȣ̃το, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας ὥσπερ ἡμεῖς ἅπαντες; ΑΛ. Ὁρᾷς, ὦ Διόγενες· ȣ̓ παράδοξον δὲ, εἰ ἄνθρωπος ὢν ἀπέθανον. ΔΙ.

navi, non *delevi*, quod volunt Interpretes. Scipio enim de quo nunc agitur, Carthaginem tantùm expugnavit. Vid. Liv. lib. 26. delevit Africanus junior.

4 Καὶ φυγεῖν, &c.] Vid. Liv. lib. 30. c. 35. quinetiam in capite trigesimo septimo ejusdem libri dicit, sunt qui Annibalem ex acie ad mare pervenisse, inde præparatâ nave ad regem Antiochum extemplo profectum tradant; postulantique ante omnia Scipioni, ut *Annibal sibi traderetur*, responsum esse *Annibalem in Africâ non esse*.

Οὐκȣ̃ν

[5] Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτοῦ σε εἶναι υἱόν· σὺ δὲ Φιλίππου ἄρα ἦσθα; ΑΛ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. ΔΙ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγοντο δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ· εἶτα οὕτω σε τεχθῆναι, τὸν δὲ Φίλιππον ἐξηπατῆσθαι, οἰόμενον πατέρα σου εἶναι. ΑΛ. Κἀγὼ ταῦτα ἤκουον, ὥσπερ σύ· νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. ΔΙ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπέπτησσον Θεὸν εἶναί σε νομίζοντες.

2. Ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛ. Οὐκ οἶδα, ὦ Διόγενες. Οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων [6] Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. Πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες; ΔΙ. [7] Τί γὰρ ἄλλο,

5 Οὐκοῦν ὁ Ἄμμων, &c.] *Olympias máter Alexandri viro suo Philippo confessa fuerat se Alexandrum non ex eo, sed ex serpente ingentis magnitudinis concepisse. Quâ ex causâ Olympiadem, velut stupri compertam, repudio dimisit. Alexander igitur cupiens originem divinitatis acquirere, simul et matrem infamiâ liberare, ad Jovem Hammonem pergit, et per præmissos subornat antistites quid sibi responderi velit. Ingredientem templum statim antistites ut Hammonis filium salutant.* Justin. lib. XI. c. 11.

6 Περδίκκᾳ] Vid. Diod. Sic lib. 19.

7 Τί γὰρ ἄλλο, ἢ ἀνεμνήσθην] Ellipsis est, quam sic supple, τί γὰρ ἄλλο ἐγέλασα, ἢ ὅτι ἀνεμνήσθην.

ἢ ἀνε-

ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν, κολακεύοντες, καὶ προστάτην αἱρούμενοι, καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ [8] καὶ τοῖς δώδεκα Θεοῖς προστιθέντες, καὶ νεὼς οἰκοδομούμενοι, καὶ θύοντες ὡς δράκοντος υἱῷ;

3. Ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν. ΑΛ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τρίτην ταύτην ἡμέραν. ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων [9] τῶν ἐν ποσὶν, [0] ἐς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν. ΔΙ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν ἐν ᾅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα [1] Ἄνουβιν, ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μὲν, ὦ θειότατε, μὴ ἐλπίσῃς· Οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην, καὶ [2] ἐς τὸν εἴσω τοῦ στομίου παρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς, οὐδὲ ὁ Κέρβερος εὐκαταφρόνητος.

8 Καὶ τοῖς δώδεκα Θεοῖς] Diis majorum Gentium, quos huic disticho inseruit Ennius.

Juno, Vesta, Minerva, Ceres, Diana, Venus, Mars,
Mercurius, Jovis, Neptunus, Vulcanus, Apollo.

9 Τῶν ἐν ποσὶν] Idiotismus pro τῶν παρόντων.
0 Ἐς Αἴγυπτον] Vid. Diod. Sic. lib. 18.
1 Ἄνουβιν ἢ Ὄσιριν] Duos apud Ægyptios Deos, quorum alter canis formâ, alter bovis colebatur. V. Diod. Sic. lib. 1.
2 Ἐς τὸν εἴσω] Sub. τόπον.

4. Ἐκεῖνα

4. Ἐκεῖνα ἐ ἡδέως ἂν μάθοιμι παρὰ σῦ, πῶς φέρεις ὁπότ' ἂν ἐννοήσῃς ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας, καὶ ὑπασπιςὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσῦτον, καὶ ἔθνη προσκυνῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, καὶ τὸ ἐπίσημον εἶναι ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον· ὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ ματαιε; ὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριςοτέλης ἐπαίδευσε μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης;

5. ΑΛ. Σοφὸς, ἁπάντων ἐκεῖνος κολάκων ἐπιῤῥητότατος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριςοτέλυς εἰδέναι, ὅσα μὲν ᾔτησε παρ' ἐμῦ, οἷα δὲ ἐπέςελλεν. ὡς δὲ κατεχρῆτό μυ τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων, καὶ ἐπαινῶν, ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τῦτο μέρος ὂν [3] τἀγαθῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸν πλῦτον· καὶ γὰρ αὖ καὶ τῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἄνθρωπος, καὶ τεχνίτης· πλὴν ἀλλὰ τῦτο γε ἀπολέλαυκα αὐτῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίςοις ἀγαθοῖς, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν.

3 Τἀγαθῦ] Nota Emphasim articuli τῦ. ἀγαθὸν significat *bonum*, τὸ ἀγαθὸν *summum bonum*.

6. ΔΙ.

θ. ΔΙ. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι· ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος ἐ φύεται, σὺ δὲ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· ἔτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλες ἀγαθοῖς ἀνιώμενος. Καὶ γὰρ καὶ [4] Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλες πολλὲς ἐπί σε ὁρμῶντας, ὡς διασπάσαιντο, καὶ ἀμύναιτό σε [5] ὧν ἔδρασαν αὐτές. Ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε· καὶ πίνε πολλάκις, ὡς ἔφην.



Dialog. XII.

ΑΛΕΞΑΝΔΡΟΥ καὶ ΦΙΛΙΠΠΟΥ.

ΦΙΛΙΠΠΟΣ.

ΝΥΝ μὲν, ὦ Ἀλέξανδρε, ἐκ ἂν ἔξαρνος γένοιο μὴ ἐκ ἐμὸς υἱὸς εἶναι· ἐ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. ΑΛ. Οὐδ' αὐτὸς ἠγνόεν, ὦ πάτερ, ὡς Φιλίππε τἓ Ἀμύντε υἱός εἰμι· ἀλλ' ἐδεξάμην τὸ

4 Κλεῖτον καὶ Καλλισθένη] Clitum interfecit Alexander, quòd Philippi memoriam tueretur, et patrem plus quàm filium laudaret: Callisthenem verò, quòd illum pro Deo habere recusaverit. Vid. Just. lib. XII.

5 Ὧν ἔδρασας αὐτές] Ellip. pro ὑπὲρ ἐκείνων ἃ ἔδρασας αὐτές.

μάντευμα,

μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. ΦΙ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν; ΑΛ. Οὐ τοῦτο· ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔτι ἀνθίσταντο, οἰόμενοι Θεῷ μάχεσθαι· ὥστε ῥᾷον ἐκράτουν αὐτῶν.

2. ΦΙ. Τίνων ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ συνηνέχθης, τοξάρια, καὶ πελτάρια, [6] καὶ γέρρα οἰσύϊνα προβεβλημένοις; [7] Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν, καὶ Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων [8] ὁπλιτικὸν, καὶ τὴν Θετταλικὴν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστὰς, καὶ τὸ Μαντινέων πελταστικὸν, ἢ Θρᾶκας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα. Μήδων δὲ, καὶ Περσῶν, καὶ Χαλδαίων, καὶ χρυσοφόρων ἀνθρώπων, καὶ ἁβρῶν, οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι [9] μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν, οὐδ' εἰς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ, πρὶν ἢ τόξευμα ἐξικνεῖσθαι, φυγόντων;

6 Καὶ γέρρα] Περσικὰ μέν ἐστιν ὅπλα κυρίως τὰ γέρρα. Καταχρηστικῶς δὲ καὶ ἅπαν τὸ σκέπασμα εἴτε δερμάτινον, εἴτε καὶ ἄλλης τινὸς ὕλης γέρρον ἐλέγετο. Schol.

7 Ἑλλήνων] Quæ de Philippo sequuntur, videre est in Diod. Sic. lib. XVII.

8 Ὁπλιτικὸν] Post ὁπλιτικὸν et πελταστικὸν subauditur πλῆθος vel στράτευμα.

9 Μετὰ Κλεάρχου] Vid. Diod. Sic. lib. 14. et Ξενόφ. Κύρου Ἀναβ. lib. 1.

3. ΑΛ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ εὐκαταφρόνητόν τι ἔργον· ° καὶ ὅμως οὐ διαστήσας αὐτοὺς, οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας, ἐκράτουν αὐτῶν· οὐδ' ἐπιώρκησα πώποτε, ἢ ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾷν ἕνεκα· καὶ τοὺς Ἕλληνας δὲ, τοὺς μὲν αναιμωτὶ παρέλαβον, [1] Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον. ΦΙ. Οἶδα ταῦτα πάντα· Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα ἐφόνευσας, ὅτι [2] με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε·

4. Σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν, κάνδυν, ὥς φασι, μετενέδυς, καὶ τιάραν ὀρθὴν ἐπέθου, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρων ἠξίους· καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ [3] τὰ

o Καὶ ὅμως, &c.] Tangit patris cauponium, de quo Demosth. et alii. Bourdel.

1 Θηβαίους δὲ] Thebanis Alexander bellum ideo intulit, quod cum aliis Græciæ civitatibus ab eo Persicum bellum aggressuro defecerant, nec *postea precibus nec deprecatione usi sunt*; *itaque victi gravissima quæque supplicia miserrimæ captivitatis experti sunt.* Just. lib. 11. Vid. et Diod. Sic. lib. 17.

2 Με πρὸς τὰς σὰς πράξεις] Hoc modo dixisse Ciceronem observat Gronovius, Isocrates majore mihi ingenio videtur, quam *ut cum orationibus Lysiæ* comparetur; et Justinum Lydorum reges fuêre variis casibus memorabiles; nullus tamen *fortunæ Canduuli* comparandus.

3 Τὰ τῶν νενικημένων] Subaud. ἔθη.

τῶν νενικημένων· ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, [4] λέυσι συγκαλακλείων πεπαιδευμένους ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν, καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν· ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου [5] τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα.

7. ΑΛ. Τὸ φιλοκίνδυνον δὲ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ [6] ἐν Ὀξυδράκαις πρῶτον καθάλασθαι [7] εἰς τὸ

4 Λέυσι συγκαλακλείων, &c.] Ad Lysimachum Agathoclis F. respicit, *qui virtutis et philosophiæ palmam inter cæteros tulit.* Ad hunc autem modum se habet historia: *Alex. Callisthenem philosophum, quod cum adorare recusaverat, abscissis auribus, naso, labiisque deforme ac miserandum spectaculum reddidit, et cum cane in cavea clausum ad metum cæterorum circumtulit: tunc Lysimachus (audire Callisthenem, et præcepta ab eo virtutis accipere solitus) misertus tanti viri, venenum ei in remedia calamitatum dedit. Quod tam ægre tulit Alexander, ut eum leoni ferocissimo objici juberet.* Justin. lib. XV. ubi et plura: γάμους δὲ τοιούτους respicit ad captivas mulieres ab eo in matrimonium receptas; Justinus enim de Statirâ in matrimonium receptâ loquens, vocat *crimen regis*: Arrianus autem in 4. lib. de Alexandri Expedit. de Rhoxane Oxyartis filiâ loquens, scribit, *Alexandrum ejus amore captum, nihilominus tamen contumeliam, utpote captivæ, inferre noluisse, matrimonio autem dedignatum non fuisse. Quod quidem Alexandri factum laude potius quam reprehensione dignum censuerim.* Vid. Epit. Arriani de Alex. Exped Diodoro Siculo annexam.

5 Τῆς τοῦ Δαρείου, &c.] Vid. Diod. Sic. lib. 17.

6 Ἐν Ὀξυδράκαις] Indiæ gens erant Oxydracæ. Vid. Diod. lib. 16.

7 Εἰς τὸ, &c.] Subaud. Χώριον.

ἐντὸς τῦ τείχȣς, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙ. Οὐκ ἐπαινῶ τῦτο, ὦ Ἀλέξανδρε· ȣ̓χ ὅτι μὴ καλὸν εἶναι οἶμαι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα, καὶ προκινδυνεύειν τῦ στρατῦ, ἀλλ' ὅτι σοὶ τοιῦτο ἥκιστα συνέφερε· Θεὸς γὰρ εἶναι δοκῶν, εἴ ποτε τρωθείης, καὶ βλέποιέν σε φοράδην τῦ πολέμȣ ἐκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσι· καὶ ὁ Ἄμμων γόης, καὶ ψευδόμαντις ἠλέγχετο· καὶ οἱ προφῆται, κόλακες. Ἢ τίς ȣ̓κ ἂν ἐγέλασεν ὁρῶν τὸν τῦ Διὸς υἱὸν λειποψυχῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, ȣ̓κ οἴει πολλȣ̀ς εἶναι τȣ̀ς τὴν προσποίησιν ἐκείνην ἐπικερτομῦντας, ὁρῶντας τὸν νεκρὸν τῦ Θεῦ ἐκτάδην κείμενον, μυδῶντα ἤδη, καὶ ἐξῳδηκότα, κατὰ νόμον σωμάτων ἁπάντων; ἄλλως τε, καὶ τὸ χρήσιμον ὃ ἔφης, Ἀλέξανδρε, τὸ διὰ τῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῶν κατορθȣμένων. Πᾶν γὰρ ἐδόκει ἐνδεὲς, ὑπὸ Θεῦ γίνεσθαι δοκῦν.

6. ΑΛ. Οὐ ταῦτα φρονῦσιν οἱ ἄνθρωποι περὶ ἐμῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλλον τιθέασί με, καίτοι τὴν [8] Ἄορνον ἐκείνην, ȣ̓θ' ἑτέρȣ ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην. ΦΙ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις

[8] Ἄορνον] *Petra* Apud Indos *miræ asperitatis et altitudinis.* Just. lib. 12. et Diod. Sic. lib. 17.

βαλλεις σεαυτὸν, καὶ ἐκ αἰσχύνῃ, ὦ Ἀλέξανδρε, ἐδὲ τὸν τῦφον ἀπομαθήσῃ, καὶ γνώσῃ σεαυτὸν, καὶ συνῇς ἤδη νεκρὸς ὤν;



Dialog. XIII.

ΜΕΝΙΠΠΟΥ, ΑΙΑΚΟΥ, ΠΥΘΑΓΟΡΟΥ, ΕΜΠΕΔΟΚΛΟΥΣ, καὶ ΣΩΚΡΑΤΟΥΣ.

ΜΕΝΙΠΠΟΣ.

ΠΡΟ'Σ τȢ Πλȣ́τωνος, ὦ Αἰακὲ, περιήγησαί μοι τὰ ἐν ᾅδȣ πάντα. ΑΙ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα· ὅσα μέντοι κεφαλαιώδη, μάνθανε. Οὑτοσὶ μὲν ὅτι Κέρβερός ἐστιν, οἶσθα· καὶ τὸν πορθμέα τȣ̃τον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην, καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών. ΜΕ. Οἶδα ταῦτα, καὶ σὲ ὅτι πυλωρεῖς· καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς· τȣ̀ς δ' ἀνθρώπȣς μοι τȣ̀ς πάλαι δεῖξον, καὶ μάλιστα τȣ̀ς ἐπισήμȣς αὐτῶν. ΑΙ. Οὗτος μὲν Ἀγαμέμνων· ὗτος δ' Ἀχιλλεύς· ὗτος δὲ Ἰδομενεὺς πλησίον· ἔπειτα Ὀδυσσεύς· εἶτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων.

2. ΜΕ. Βαβαί. Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔῤῥιπται, ἄγνωστα, καὶ ἄμορφα,

κόνις

κόνις πάντα, καὶ λῆρος πολύς· [9] ἀμενηνὰ ὡς ἀληθῶς κάρηνα! ὗτος δὲ, ὦ Αἰακὲ, τίς ἐςι; ΑΙ. Κῦρός ἐςίν. Οὗτος δὲ Κροῖσος· καὶ παρ' αὐτῷ Σαρδανάπαλος· ὁ δ' ὑπὲρ τέτες, Μίδας· ἐκεῖνος δὲ Ξέρξης. ΜΕ. Εἶτα σὲ, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε [o] ζευγνῦντα μὲν τὸν Ἑλλήσποντον διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμῦντα; οἷος δὲ καὶ ὁ Κροῖσός ἐςι; τὸν Σαρδανάπαλον δὲ, ὦ Αἰακὲ, πατάξαι μοι κατὰ κόῤῥης ἐπίτρεψον. ΑΙ. Μηδαμῶς. Διαθρύψεις γὰρ αὐτῦ τὸ κρανίον γυναικεῖον ὄν. ΜΕ. Οὐκῦν, ἀλλὰ προσπτύξομαί γε πάντως ἀνδρογύνῳ ὄντι.

2. ΑΙ. Βέλει σοὶ ἐπιδείξω καὶ τὺς σοφὺς; ΜΕ. Νὴ Δία γε. ΑΙ. Πρῶτος ὗτός σοι ὁ Πυθαγόρας ἐςί. ΜΕ. Χαῖρε, [1] ὦ Εὔφορβε, ἢ Ἀπολλον, [2] ἢ ὅ, τι ἂν

[9] Ἀμενηνὰ, &c.] Ad Hom. locum respexit, Od. κ'. v. 521. Πολλὰ δὲ γυνῦσθαι νεκύων ἀμενηνὰ κάρηνα. Græv.

[o] Ζευγνῦντα μὲν τὸν, &c.] Vid. Herod. lib. 7. et Juv. Sat. X.

Ille tamen qualis rediit Salamine relictâ,
In Corum atque Eurum solitus sævire flagellis
Barbarus, Æolio nunquam hoc in carcere passos,
Ipsum compedibus qui vinxerat Ennosigæum?

[1] Ὦ Εὔφορβε, &c.] Allusum est ad Pythagoræ dogma περὶ τῆς μετεμψυχώσεως. Pythagoras enim dixit se primo fuisse Æthalidem: deinde Euphorbum, postea Hermotimum, quarto Pyrrhum, Delium piscatorem, postremo Pythagoram. Cur autem et Apollinem dicat Menippus, hoc in causâ est, scilicet quod discipuli ejus propter formam venustissimam pro Apolline illum habuerint. Vid. Diog. Laert. lib. 8. et Ælian. qui in Var. Hist. lib. 2: Ἀριςοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι.

[2] Ἢ ὅ, τι ἂν ἐθέλῃς] Integrè, καθ' ὅ, τι ἂν ἐθέλῃς ὄνομα καλεῖσθαι ἐθέλῃς.

ἐθέλῃς. ΠΥ. Νὴ, καὶ σύ γε, ὦ Μένιππε. ΜΕ. Οὐκ ἔτι [3] χρυσοῦς ὁ μηρός ἐστί σοι; ΠΥ. Οὐ γάρ· ἀλλὰ φέρε ἴδω, εἴ τι σόι ἐδώδιμον ἡ πήρα ἔχει. ΜΕ. Κυάμους, ὦ 'γαθέ· [4] ὥστε οὐ τοῦτό σοι ἐδώδιμον. ΠΥ. Δὸς μόνον· ἄλλα παρὰ νεκροῖς δόγματα. ἔμαθον γὰρ, [5] ὡς οὐδὲν ἴσον κύαμοι, καὶ κεφαλαὶ τοκήων ἐνθάδε.

4. ΑΙ. Οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου, καὶ Θαλῆς ἐκεῖνος· καὶ παρ' αὐτοὺς Πιττακὸς, καὶ οἱ ἄλλοι· [6] ἑπτὰ

3 Χρυσοῦς ὁ μηρός] De aureo femore Pythagoræ meminit Lucianus in alio Dialogo, cui titulus *Vitarum Auctio*; Iamblichus in vit. Pythag. c. 28: nec non at Diog. Laert. λέγεται δὲ αὐτοῦ ποτὲ γυμνωθέντος τὸν μηρὸν ὀφθῆναι χρυσοῦν. Porphyrius ait id eum ostendisse Abaridi Sacerdoti Apollinis, ante opinanti ipsum esse Apollinem, ut, eo viso, pro certo haberet. Leedes.

4 Ὥστε οὐ τοῦτο, &c.] E Pythagoræ præceptis erat Ἀπέχεσθαι κυάμων. De quo Menagius in observat. in lib. 8. Diog. Laertii, *Multæ, inquit, causæ afferuntur, propter quas Pythagoras fabis abstinendum decreverat; de quibus videndus Lilius Gregorius Giraldus in Syntagmate de Pythagoricis Symbolis. Quod vero tot causæ hujusce prohibitionis afferantur, id ipsum argumento est veram ignorari. Nec mirum; cum hoc præceptum abditum occultumque profanis esse voluerit Pythagoras: adeo ut Timycha Pythagorica, cum eam Dionysius cogeret id mysterium revelare, ipsa arcanum ne proderet, mordicus sibi linguam præcidens, in faciem Tyranni exspuisse dicitur. Rem narrat Iamblich. in Vit. Pythag. et Olympiodorus ad Platonis Phædonem.*

5 Ὡς οὐδὲν, &c.] Alludit ad hunc versum,

Ἶσόν τοι κυάμους τρώγειν κεφαλάς τε τοκήων.

i. e. æquè malum est edere fabas ac parentum capita. Ἔχουσι subauditur.

6 Ἑπτὰ δὲ πάντες] Septem Græciæ Sapientes.

δὲ

δὲ πάντες εἰσὶν, ὡς ὁρᾷς. ΜΕ. Ἄλυποι οὗτοι, ὦ Αἰακὲ, μόνοι, καὶ φαιδροὶ τῶν ἄλλων. Ὁ δὲ σποδοῦ πλέως, ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ ταῖς φλυκταίναις ὅλος ἐξηνθηκὼς, τίς ἐστιν; ΑΙ. [7] Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών. ΜΕ. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυτὸν ἐς τοὺς κρατῆρας ἐνέβαλες; ΜΕ. Μελαγχολία τὶς, ὦ Μένιππε. ΜΕ. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τῦφος, καὶ πολλὴ κόρυζα· ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν ἄξιον ὄντα, πλὴν ἀλλ᾽ οὐδέν. σε τὸ σόφισμα ὤνησεν· ἐφωράθης γὰρ τεθνεώς. Ὁ Σωκράτης δὲ, ὦ Αἰακὲ, ποῦ ποτε ἄρά ἐστι; ΑΙ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. ΜΕ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἴπου ἐνθάδε ἐστίν. ΑΙ. Ὁρᾷς τὸν φαλακρόν; ΜΕ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα. ΑΙ. Τὸν σιμὸν λέγω. ΜΕ. Καὶ τοῦθ᾽ ὅμοιον· σιμοὶ γὰρ ἅπαντες.

5. ΣΩ. Ἐμέ ζητεῖς, ὦ Μένιππε; ΜΕ. Καὶ μάλα, ὦ Σώκρατες. ΣΩ. Τί τὰ ἐν Ἀθήναις; ΜΕ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι· καὶ τά γε σχήματα

7 Ἐμπεδόκλης] Philosophus et Poeta Agrigentinus, de quo Horatius ad Pisones,

———*Deus immortalis haberi*
Dum cupit Empedocles, ardentem frigidus Ætnam
Insiluit.

αὐτὰ

αὐτὰ, καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι μάλα πολλοί· τὰ δ᾽ ἄλλα ἑώρακας, οἶμαι, οἷος ἧκε παρὰ σοὶ [8] Ἀρίστιππος, καὶ [9] Πλάτων αὐτός· ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών. ΣΩ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν; ΜΕ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ τά γε τοιαῦτα· πάντες οὖν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι, καὶ πάντα ἐγνωκέναι, καὶ ταῦτα (δεῖ γὰρ οἶμαι τἀληθὲς λέγειν) [o] οὐδὲν εἰδότα. ΣΩ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς· οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι.

6. ΜΕ. Τίνες δὲ οὗτοί εἰσιν οἱ περὶ σέ; ΣΩ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος, καὶ [1] ὁ τοῦ Κλεινίου. ΜΕ. Εὖγε, ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην, καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν. ΣΩ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ. ΜΕ. Μὰ Δί᾽, ἐπὶ τὸν Κροῖσον γὰρ καὶ Σαρδανάπαλον ἄπειμι, πλησίον οἰκήσων

8 Ἀρίστιππος] Aristippus erat Cyrenaicus; Socratis auditor; sed de voluptate cum Epicuro sensit. Hunc Diogenes, quod Dionysio aliisque ventris gratiâ adularetur, Regium Canem appellavit. V. D. Laertium in Vit. Aristippi.

9 Πλάτων] Plato erat sectæ Academicæ princeps. De cujus luxuriâ vid. Theodoret. θεράπευτ. ϛ'. Grævius.

o Οὐδὲν εἰδότα] Alludit ad id quod fertur Socratem dixisse, ipsum se nihil scire id unum scire.

1 Ὁ τοῦ Κλεινίου] Alcibiades.

αὐτῶν· ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκούων. ΑΙ. Κἀγὼ ἤδη ἄπειμι, μή καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. Τὰ πολλὰ δ' ἐσαῦθις ὄψει, ὦ Μένιππε. ΜΕ. Ἄπιθι· καὶ ταυτὶ γὰρ ἱκανὰ, ὦ Αἰακέ.

✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠

DIALOG. XIV.

ΧΑΡΩΝΟΣ, ΜΕΝΙΠΠΟΥ, καὶ ΕΡΜΟΥ.

ΧΑΡΩΝ.

Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμία. ΜΕ. Βόα, [2] εἰ τοῦτό σοι ἥδιον, ὦ Χάρων. ΧΑ. Ἀπόδος, φημὶ, ἀνθ' ὧν σε διεπορθμευσάμην. ΜΕ. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος. ΧΑ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕ. Εἰ μὲν καὶ ἄλλος τις, οὐκ οἶδα· ἐγὼ δὲ οὐκ ἔχω. ΧΑ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρὲ, ἢν μὴ ἀποδῷς. ΜΕ. Κἀγὼ τῷ ξύλῳ σοῦ πατάξας διαλύσω τὸ κρανίον. ΧΑ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν; ΜΕ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι.

2 Εἰ τοῦτό σοι ἥδιον] Subaud. ἢ σιγᾷν.

ΕΡ.

ΕΡ. Νὴ Δία ὀναίμην,[3] εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν. ΧΑ. Οὐκ ἀποστήσομαί σου. ΜΕ. Τοῦτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε· πλὴν ἀλλ' ὅ, γε μὴ ἔχω, πῶς ἂν λάβοις; ΧΑ. Σὺ δ' οὐκ ᾔδεις, ὡς κομίζειν δέον; ΜΕ. Ἤδειν μὲν, οὐκ εἶχον δέ. Τί οὖν; ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν; ΧΑ. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι; ΜΕ. Οὐ προῖκα, ὦ βέλτιστε· καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. ΧΑ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμία· τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ· οὐ γὰρ θέμις ἄλλως γενέσθαι.

3. ΜΕ. Οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τὸν βίον. ΧΑ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω. ΜΕ. Μὴ ἐνόχλει οὖν. ΧΑ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. ΜΕ. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον. ΧΑ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλε, παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων! ΕΡ. Ἀγνοεῖς, ὦ Χάρων, ὁποῖον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει. Οὗτός ἐστιν

3 Εἰ μέλλω ὑπερεκτίνειν] *Si futurum est ut solvam, si solvere debeam*; μέλλω enim interdum significat *debeo.* Vid. Budæi Comm. Ling. Græcæ.

ὁ Μένιππος. ΧΑ. [4] Καὶ μὴν ἂν σε λάβω ποτέ; ΜΕ. Ἂν λάβῃς, ὦ βέλτιστε; δὶς δὲ οὐκ ἂν λάβοις.

✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠

DIALOG. XV.

ΔΙΟΓΕΝΟΥΣ καὶ ΜΑΥΣΩΛΟΥ.

ΔΙΟΓΕΝΗΣ.

Ὦ Κάρ, ἐπὶ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς; ΜΑΥ. Καὶ ἐπὶ τῇ βασιλείᾳ μὲν, [5] ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων· καὶ νήσους δὲ τινὰς ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, [6] τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός· [7] τὸ δὲ μέγιστον, ὅτι ἐν

4 Καὶ μὴν ἂν σε λάβω ποτέ] Hic aliquid, quod pro suâ cuique sententiâ licet adjicere, eleganter supprimitur; hæc enim suppressio, quam ἀποσιώπησιν vocant, terrori incutiendo non parùm inservit: ut in illo Virg. Æn. 1.

Quos ego—sed motos præstat componere fluctus.

5 Ὦ Σινωπεῦ] Sinopensis dicitur Diogenes, à Sinope, urbe maritimâ Paphlagoniæ, ubi natus erat.

6 Τὰ πολλὰ τῆς Ἰωνίας] Subaud. μέρη.

7 Τὸ δὲ μέγιστον] Τὸ pro ὃ sumitur, et vox ἐστὶ subauditur.

Ἁλικαρ-

Ἁλικαρνασσῷ [8] μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, [9] ἡλίκον οὐκ ἄλλος νεκρὸς, ἀλλ' οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων, λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕρῃ τις ἂν ῥᾳδίως. Οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν;

2. ΔΙ. Ἐπὶ τῇ βασιλείᾳ φῄς, καὶ τῷ κάλλει, καὶ τῷ βάρει τοῦ τάφου; ΜΑΥ. Νὴ Δί' ἐπὶ τούτοις. ΔΙ. Ἀλλ', ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἔτι σοι ἐκείνη, οὔτε ἡ μορφὴ πάρεστιν· εἰ γοῦν τινὰ ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνά· καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. Ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μὲν ἴσως [10] εἶεν ἐπιδείκνυσθαί, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι. Σὺ δὲ, ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς, ὑπὸ τηλικούτοις λίθοι πιεζόμενος.

8 Μνῆμα παμμέγεθες] De quo Aul. Gell. lib. 10. et passim Poetæ.

9 Ἡλίκον] Integrè, τηλικοῦτον, ἡλίκον.

10 Εἶεν ἐπιδείκνυσθαι] Verbum εἰμὶ aliis infin. modi verbis additum, sive absolutè et per se, sive subauditâ voce δυνατὸς vel οἷος eleganter pro δύναμαι usurpatur.

3. ΜΑΥ.

3. ΜΑΥ. Ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα; καὶ ἰσότιμος ἔσαι Μαύσωλος καὶ Διογένης; ΔΙ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε· οὐ γάρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο· Διογένης δὲ καταγελάσεται αὐτοῦ. Καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον· ὁ Διογένης δὲ, τοῦ μὲν σώματος εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου. Λόγον δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς, ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε, τοῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.



Dialog. XVI.

ΜΕΝΙΠΠΟΣ, ἢ ΝΕΚΥΟΜΑΝΤΙΑ.

ΜΕΝΙΠΠΟΣ.

[1] Ὦ Χαῖρε, μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς· ὡς ἄσμενός σ' ἐσεῖδον, ἐς φάος μολών". ΦΙΛΩΝΙΔΗΣ. Οὐ Μένιππος οὗτός ἐστιν ὁ κύων; οὐ μὲν οὖν ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω Μενίππου ὅλους. Τί δ'

1 Ὦ χαῖρε, &c.] Vid. Eurip. Herc. Furens. v. 523.

αὐτῷ

αὐτῷ βέλεται τὸ ἀλλόκοτον τῦ σχήματος, [2] πῖλος, καὶ λύρα, καὶ λεοντῆ; προσιτέον δὲ ὅμως αὐτῷ. Χαῖρε, ὦ Μένιππε. Καὶ πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον ὦ πέφηνας ἐν τῇ πόλει. ΜΕ. " [3] Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότε πύλας Λιπὼν, ἵν' ᾅδης χωρὶς ᾤκισαι θεῶν." ΦΙΛΩ. Ἡράκλεις, ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών· κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; ΜΕ. " Οὐκ· ἀλλ' ἔτ' ἔμπνεν ἀΐδης μ' ἐδέξατο." ΦΙΛΩ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξε ταύτης ἀποδημίας; ΜΕ. " Νεότης μ' ἐπῆρε, καὶ θάσος τῦ νῦ πλέον." ΦΙΛΩ. Παῦσαι, μακάριε, τραγῳδῶν, καὶ λέγε ἐτωσί πως ἁπλῶς καταβὰς ἀπὸ τῶν ἰαμβείων. Τίς ἡ στολή; τί σοι τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ ὐχ ἡδεῖά τις, ὐδὲ ἀσπάσιος ἡ ὁδός. ΜΕ. [4] " ὦ φιλότης, χρειώ με κατήγαγεν εἰς ἀΐδαο, Ψυχῇ χρησόμενον Θηβαίε Τειρεσίαο." ΦΙΛΩ. Οὗτος, ἀλλ' ἢ παραπαίεις· ὐ γὰρ ἂν ὕτως ἐμμέτρως ἐῤῥαψῴδεις πρὸς ἄνδρας φίλες. ΜΕ. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε· νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγενόμενος, ὐχ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ στόμα ἔρχεται.

2 Πῖλος] Male reddunt Interpretes *clava*, cum significet *pilcus*, qui nihilo deterius Ulyssi proprius erat, quam Orpheo *lyra*, aut *leonis exuviæ* Herculi. Causam vero, cur se hisce Menippus induerit, inferius videre est.

3 Ἥκω νεκρῶν] V. Eurip. Hec. v. 1.

4 Ὦ φιλότης] V. Hom. Od. λ'. v. 163. Quin et notetur haud vocem φιλότης ἀντὶ τῦ προσφιλέστατε usurpari. Vid. Hesych.

2. Ἀτὰρ

2. Ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ τί ποιοῦσιν ἐν τῇ πόλει; ΦΙΛΩ. Καινὸν οὐδὲν, [5] ἀλλ' οἷα καὶ πρὸ τοῦ, ἁρπάζουσιν, ἐπιορκοῦσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. ΜΕ. Ἄθλιοι, καὶ κακοδαίμονες. Οὐ γὰρ ἴσασιν οἷα ἔναγχος κεκύρωται παρὰ τοῖς κάτω, καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσματα κατὰ τῶν πλουσίων, ἃ, μὰ τὸν Κέρβερον, οὐδεμία μηχανὴ τοῦ διαφυγεῖν αὐτούς. ΦΙΛΩ. Τί φῄς; δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε; ΜΕ. Νὴ Δία καὶ πολλά. Ἀλλ' οὐ θέμις ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας, οὐδὲ τὰ ἀπόρρητα ἐξαγορεύειν, μὴ καί τις ἡμᾶς γράψηται γραφῆς ἀσεβείας ἐπὶ τοῦ Ῥαδαμάνθυος. ΦΙΛΩ. Μηδαμῶς, ὦ Μένιππε, πρὸς τοῦ Διὸς, μὴ φθονήσῃς τῶν λόγων φίλῳ ἀνδρί· πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς, τά τ' ἄλλα καὶ [6] πρὸς μεμυημένον. ΜΕ. Χαλεπὸν μὲν ἐπιτάττεις τοὐπίταγμα, καὶ οὐ πάντη ἀσφαλές· πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. Ἔδοξε δὴ τοὺς πλουσίους τούτους, καὶ πολυχρημάτους, τὸ χρυσίον κατάκλειστον, ὥσπερ τὴν Δανάην, φυλάττοντας. ΦΙΛΩ. Μὴ πρότερον εἴπῃς, ὦ 'γαθὲ, τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου. ἥτις

5 Ἀλλ' οἷα καὶ πρὸ τοῦ] Integrè, ἀλλὰ τοῖα ποιοῦν, οἷα καὶ πρὸ τοῦ χρόνου.

6 Πρὸς μεμυημένον] Eleusiniis scilicet sacris, quæ in honorem Cereris agebantur eâ solennitate ut, teste Athenæo, κατ' ἐξοχὴν Μυστήρια dicerentur. In his sacris, usque adeo cautum fuit, ne in vulgus emanarent Mysteria, ut hâc in parte religionem violare summi criminis loco duceretur.

αἰτία

αἰτία σοι τῆς καθόδυ ἐγένεἶο, τίς δὲ ὁ τῆς πορείας ἡγεμών· εἶθ' ἑξῆς ἅ τε εἶδες, ἅ τε ἤκυσας παρ' αὐτοῖς· εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντά σε, μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν.

3. ΜΕ. Ὑπυργητέον καὶ ταῦτά σοι· Τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιἶο; καὶ δὴ πρῶτά σοι δίειμι τὴν γνώμην τὴν ἐμὴν, καὶ ὅθεν ὡρμήθην πρὸς τὴν καἶάβασιν. Ἐγὼ γὰρ, ἄχρι μὲν ἐν παισὶν ἦν, ἀκέων Ὁμήρυ καὶ Ἡσιόδυ πολέμυς καὶ στάσεις διηγυμένων, ὐ μόνον τῶν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη τῶν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν, καὶ βίας, καὶ ἁρπαγὰς, καὶ δίκας, καὶ [7] παἶέρων ἐξελάσεις, καὶ ἀδελφῶν γάμυς, πάνἶα ταῦτα ἡγύμην εἶναι καλὰ, καὶ ὐ παρέργως ἐκινύμην πρὸς αὐτά. Ἐπεὶ δὲ [8] εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνἶαῦθα ἤκυον τῶν νόμων, τἀνανἶία τοῖς ποιηἶαῖς κελευόνἶων, μήτε μοιχεύειν μήτε στασιάζειν, μήτε ἁρπάζειν. Ἐν μεγάλῃ ὖν καθειστήκειν ἀμφιβολίᾳ ὐκ εἰδὼς ὅ, τι χρησαίμην ἐμαυἶῷ. Οὔτε γὰρ τὺς Θεὺς ἂν ποἶὲ ἡγύμην μοιχεῦσαι, καὶ στασιάσαι πρὸς ἀλλήλυς, εἰ μὴ ὡς περὶ καλῶν τύτων ἐγινωσκον· ὔτ' ἂν τὺς νομοθέτας τἀναντία τύτοις παραινεῖν, εἰ μὴ λυσιἶελεῖν ὑπελάμβανον.

7 Πατέρων ἐξελάσεις καὶ ἀδελφῶν γάμυς] Hoc ad Jovem et Junonem respicit, illud ad Jovem et Saturnum.

8 Εἰς ἄνδρας τελεῖν] Pro τελεῖσθαι, i. e. τάἶῖεσθαι, ἐγκρίνεσθαι. Vid. Viger.

4. Ἐπεὶ δὲ διηπόρουν, ἔδοξέ μοι ἐλθόντα παρὰ τοὺς καλουμένους τούτους φιλοσόφους, ἐγχειρίσαι τε ἐμαυτὸν, καὶ δεηθῆναι αὐτῶν [9] χρῆσθαί μοι ὅ, τι βούλοιντο, καί τινα ὁδὸν ἁπλῆν καὶ βεβαίαν ὑποδεῖξαι τοῦ βίου. Ταῦτα μὲν δὴ φρονῶν προσῄειν αὐτοῖς· ἐλελήθειν δ' ἐμαυτὸν ἐς αὐτό, φασι, τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος· παρὰ γὰρ δὴ τούτοις μάλιστα εὕρισκον ἐπισκοπῶν τὴν ἄγνοιαν, καὶ τὴν ἀπορίαν πλείονα· ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν οὗτοι τὸν τῶν ἰδιωτῶν βίον. Ἀμέλει [o] ὁ μὲν αὐτῶν παρῄνει τὸ πᾶν ἥδεσθαι, καὶ μόνον τοῦτο [1] ἐκ παντὸς μετιέναι· τοῦτο γὰρ εἶναι τὸ εὔδαιμον· [2] ὁ δέ τις ἔμπαλιν πονεῖν τὰ πάντα, καὶ μοχθεῖν, καὶ τὸ σῶμα καταναγκάζειν, ῥυπῶντα καὶ αὐχμῶντα, καὶ πᾶσι δυσαρεστοῦντα, καὶ λοιδορούμενον, συνεχὲς ἐπιρραψῳδῶν τὰ πάνδημα ἐκεῖνα [3] τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς ἔπη, καὶ τὸν ἱδρῶτα, καὶ τὴν

9 Χρῆσθαί μοι ὅ, τι] Integrè, πρὸς ὅ, τι.

o Ὁ μὲν αὐτῶν παρῄνει τὸ πᾶν ἥδεσθαι] Epicureus scilicet, aut Cyreniacus; utraque enim Secta ἡδονικὴ dicebatur. V. Voss. de Phil. Sect. c. IX.

1 Ἐκ παντὸς] Subaud. τρόπου.

2 Ὁ δέ τις ἔμπαλιν] Hoc ad Cynicos respicit.

3 Τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς, &c.]

Τῆς δ' ἀρετῆς ἱδρῶτα Θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

ἐπὶ

ἐπὶ τὸ ἄκρον ἀνάβασιν. [4] Ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο, καὶ ἀδιάφορον οἴεσθαι τὴν κτῆσιν αὐτῶν· [5] ὁ δέ τις αὖ πάλιν, ἀγαθὸν εἶναι καὶ τὸν πλοῦτον αὐτὸν ἀπεφαίνετο. Περὶ μὲν γὰρ τοῦ κόσμου τί χρὴ καὶ λέγειν; ὅς [6] γε ἰδέας, καὶ ἀσώματα, καὶ ἀτόμους, καὶ κενὰ, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὁσημέραι παρ' αὐτῶν [7] ἤκουον ἐναντίων· καὶ τὸ πάντων δεινῶν ἀτοπώτατον, ὅτι περὶ τῶν ἐναντιωτάτων ἕκαστος αὐτῶν λέγων, σφόδρα νικῶντας καὶ πιθανοὺς λόγους ἐπορίζετο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι, μήτε τῷ ψυχρὸν, ἀντιλέγειν ἔχειν, καὶ ταῦτα εἰδότα σαφῶς, ὡς οὐκ ἄν ποτε θερμόν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ. Ἀτεχνῶς

4 Ἄλλος καταφρονεῖν] Stoicus. Vossius enim de Stoica sectâ — *Nec mirum si secta hæc sic placuerit gravissimis quibusque, cum nulla magis animum formet ad contemptum rerum humanarum, et patientiam in adversis.*

5 Ὁ δέ τίς αὖ πάλιν, &c.] Peripateticus. Aristoteles enim lib. 1. Ethic. in bonis divitias numerat.

6 Γε ἰδέας] Ad Platonicos respicit: de quorum ideis vid. Plat. de rep. lib. 6. Quin et Platonici ἀσώματα, mentem scilicet et spiritum, contra Epicureos statuerunt: quanquam hoc in loco ad Stoicos per ἀσώματα forsan alluditur, qui *Spatium, Tempus*, ἀσώματα dixerunt. Vid. Diog. Laert. lib. VII. per ἀτόμους vero et κενὰ perstringit Epicurum. Vid Diog. Laert. lib. X.

7 Ἤκουον ἐναντίων] Apud Aldi editionem legitur ἀκούων ἐναντίων. Unde Doctissimi Amici in mentem à Luciani manu fuisse ἀκούων ἐναυτίων, *audiens nauseabam*. Palmaria sanè conjectura! et quæ omnibus, qui tantillum elegantiæ sapiant, quin non parùm arriserit, nullus dubito.

οὖν ἔπασχον τοῖς νυστάζουσι τούτοις ὅμοιον, ἄρτι μὲν ἐπινεύων, ἄρτι δὲ ἀνανεύων ἔμπαλιν.

5. Ἔτι δὲ πολλῷ τοῦτο ἐκείνων ἀτοπώτερον· τοὺς γὰρ αὐτοὺς τούτους εὕρισκον ἐπιτηρῶν ἐναντιώτατα τοῖς αὐτῶν λόγοις ἐπιτηδεύοντας. Τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων, ἑώρων ἀπρὶξ ἐχομένους αὐτῶν, καὶ περὶ τόκων διαφερομένους, καὶ ἐπὶ μισθῷ παιδεύοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας· τούς τε τὴν δόξαν ἀποβαλλομένους, αὐτῆς ἕνεκα πάντα ἐπιτηδεύοντας· ἡδονῆς τε αὖ σχεδὸν ἅπαντας κατηγοροῦντας, ἰδίᾳ δὲ, μόνῃ ταύτῃ προσηρτημένους.

6. Σφαλεὶς οὖν καὶ ταύτης τῆς ἐλπίδος, ἔτι μᾶλλον ἐδυσχέραινον· ἠρέμα παραμυθούμενος ἐμαυτὸν, ὅτι μετὰ πολλῶν, καὶ σοφῶν, καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων, ἀνοητός τε εἰμι, καὶ τἀληθὲς ἔτι ἀγνοῶν περιέρχομαι. Καί μοι ποτὲ διαγρυπνοῦντι τούτων ἕνεκα ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα δεηθῆναί τινος τῶν μάγων τῶν [8] Ζωροάστρου μαθητῶν καὶ διαδόχων. Ἤκουον δ' αὐτοὺς ἐπῳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε τοῦ ᾅδου τὰς πύλας, καὶ κατάγειν, ὃν ἂν βούλωνται ἀσφαλῶς, καὶ ὀπίσω αὖθις ἀναπέμπειν. Ἄριστον οὖν ἡγού-

[8] Ζωροάστρου] In fragmentis Berosi Chaldæi legitur, Zoroastrem Persam fuisse Cham Noæ F. hujus meminerunt Plato, Plut. et alii.. Cognatus.

μην

μην εἶναι παρά τινος τούτων διαπραξάμενον τὴν κατάβασιν, ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ, ἅτε μάντεως καὶ σοφοῦ, τίς ἐστιν ὁ ἄριστος βίος, καὶ ὃν τις ἕλοιτο εὖ φρονῶν. Καὶ δὴ ἀναπηδήσας [9] ὡς εἶχον τάχους, ἔτεινον εὐθὺ Βαβυλῶνος. Ἐλθὼν δὲ, συγγίνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ, καὶ θεσπεσίῳ τὴν τέχνην, πολιῷ μὲν τὴν κόμην, γένειον δὲ μάλα σεμνὸν καθειμένῳ· τοὔνομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης· δεηθεὶς δὲ καὶ καθικετεύσας, μόλις ἔτυχον παρ' αὐτοῦ, ἐφ' ὅτῳ βούλοιτο μισθῷ, καθηγήσασθαί μοι τῆς ὁδοῦ.

7. Παραλαβὼν δέ με ὁ ἀνὴρ, [o] πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος, ἔλουε, κατάγων ἐπὶ τὸν Εὐφράτην ἕωθεν, πρὸς ἀνατέλλοντα τὸν ἥλιον, ῥῆσίν τινα μακρὰν ἐπιλέγων, ἧς οὐ σφόδρα κατήκουον· Ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων, ἐπίτροχόν τι καὶ ἀσαφὲς ἐφθέγγετο. Πλὴν

9 Ὡς εἶχον τάχους] Hîc observatum velim eleganter τοῦ ἔχω usum cum gen. casu et adverbiis ὡς οὕτως, εὖ, &c. ut, οὕτως ἔχω τῆς γνώμης, *ejus sententiæ sum*, ὡς ἕκαστος ἑτοιμότητος ἢ βουλήσεως ἔσχε, *ut quisque paratus aut animatus fuerit*, εὖ ἔχειν τῆς ῥώμης, *robore valere*. Vid. Viger. ——Sed in his omnibus verbum ἐλλειπτικῶς poni videtur, ut εὖ ἔχει τῆς ῥώμης pro ἕνεκα τῆς ῥώμης, *bene se habet quod ad robur attinet*, οὕτως ἔχω ἕνεκα τῆς γνώμης, *ita sum affectus quòd ad sententiam attinet*.

o Πρῶτα μὲν, &c.] De hisce ritibus vid. Hom. Od. κ'. et λ'. et Apollon. Argon. lib. III.

ἀλλ'

ἀλλ' ἐῴκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. Μετὰ γοῦν τὴν ἐπῳδὴν, τρὶς ἄν μου πρὸς τὸ πρόσωπον ἀποπτύσας, ἐπανῄει πάλιν, οὐδένα τῶν ἀπαντώντων προσβλέπων. Καὶ σιτία μὲν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα, καὶ μελίκρατον, καὶ τὸ τοῦ [1] Χοάσπου ὕδωρ· εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. Ἐπεὶ δὲ ἅλις εἶχε τῆς προδιαιτήσεως, περὶ μέσας νύκτας ἐπὶ τὸν [2] Τίγρητα ποταμὸν ἀγαγὼν, ἐκάθηρέ τέ με, καὶ ἀπέμαξε, καὶ περιήγνισε δᾳδὶ καὶ σκίλλῃ καὶ ἄλλοις πλείοσιν· ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑποτονθορύσας· εἶτα ὅλον με καταμαγεύσας, καὶ περιελθὼν, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φαντασμάτων, ἐπανάγει ἐς τὴν οἰκίαν, ὡς εἶχεν ἀναποδίζοντα. Καὶ [3] τὸ λοιπὸν ἀμφὶ πλοῦν εἴχομεν.

8. Αὐτὸς μὲν οὖν μαγικήν τιν' ἔδυ στολὴν, τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ. Ἐμὲ δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ, καὶ τῇ λεοντῇ, καὶ προσέτι τῇ λύρᾳ. Καὶ παρεκελεύσατο, ἤν τις ἔρηταί με τοὔνομα, Μένιππον μὲν μὴ λέγειν, Ἡρακλέα δὲ, ἢ Ὀδυσσέα, ἢ

1 Χοάσπου] Medorum fluv. cujus aqua eâ est dulcedine, ut, teste Herodoto, Persarum Rex non aliam biberet——τοῦ μόνου πίνει βασιλεὺς, καὶ ἄλλου οὐδενὸς ποταμοῦ. Lib. 1. Vid. et Tib. lib. 4.

Nec quâ vel Nilus vel regia lympha *Choaspis*
Profluit.

2 Τίγρητα] Asiæ fluvium.

3 Τὸ λοιπὸν] Subaud. τῆς νυκτὸς μέρος.

Ὀρφέα,

Ὀρφέα. ΦΙΛΩ. Ὡς δὴ τί τȣ̃το, ὦ Μένιππε; ȣ̓ γὰρ συνίημι τὴν αἰτίαν ȣ̓́τε τȣ̃ σχήματος, ȣ̓́τε τῶν ὀνομάτων. ΜΕ. Καὶ μὴν πρόδηλόν γε τȣ̃το, καὶ ȣ̓ παντελῶς ἀπόῤῥητον· ἐπεὶ γὰρ ȣ̓̃τοι πρὸ ἡμῶν ζῶντες ἐς ᾅδȣ κατεληλύθεσαν, ἡγεῖτο εἴ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν τȣ̃ Αἰακȣ̃ φρȣρὰν διαλαθεῖν, καὶ ἀκωλύτως παρελθεῖν, ἅτε συνηθέστερον, τραγικῶς μάλα παραπεμπόμενον ὑπὸ τȣ̃ σχήματος.

9. Ἤδη δ' ȣ̓̃ν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες ἐπὶ τὸν ποταμὸν, περὶ [4] ἀναγωγὴν ἐγιγνόμεθα. Παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος, καὶ ἱερεῖα, καὶ μελίκρατα, καὶ ἄλλα, ὅσα πρὸς τὴν τελετὴν χρήσιμα. Ἐμβαλόμενοι ȣ̓̃ν ἅπαντα τὰ παρεσκευασμένα, ȣ̓́τω δὴ καὶ αὐτοὶ [5] βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες· καὶ μέχρι μέν τινος ὑπεφερόμεθα ἐν τῷ ποταμῷ· εἶτα δ' ἐσεπλεύσαμεν ἐς τὸ ἕλος, καὶ [6] τὴν λίμνην, ἐς ἣν ὁ Εὐφράτης ἀφανίζεται. Περαιωθέντες δὲ καὶ ταύτην, ἀφικνȣ̓́μεθα ἔς τι χωρίον ἔρημον, καὶ ὑλῶδες, καὶ ἀνήλιον· ἐς ὃ ἀποβάντες, ἡγεῖτο δὲ ὁ Μιθροβαρζάνης, βόθρον τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν, καὶ τὸ αἷμα περὶ τὸν βόθρον ἐσπείσαμεν.

4 Ἀναγωγὴν] Ἡ τῶν νηῶν ἔκπλȣς ἀναγωγὴ λέγεται. Schol.

5 Βαίνομεν ἀχνύμενοι] V. Hom. Od. λ'. v. 5. ubi videre est et ea quæ sequuntur.

6 Τὴν λίμνην, &c.] Persicum sinum. Vid. Dionys. Περιήγ. v. 981.

Ὁ δὲ μάγος ἐν τοσέτῳ δᾶδα καιομένην ἔχων, ἐκ ἔτ' ἠρεμαίᾳ τῇ φωνῇ, παμμέγεθες δὲ ὡς οἷός τε ἦν ἀνακραγὼν, δαίμονάς τε ὁμȣ̃ πάντας ἐπεβοᾶτο, καὶ Ποινὰς, καὶ Ἐριννύας, καὶ νυχίαν Ἑκάτην, καὶ ἐπαινὴν Περσεφόνειαν, παραμιγνὺς ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα.

10. Εὐθὺς ȣ̃ν πάντα ἐκεῖνα ἐσαλεύετο, καὶ ὑπὸ τῆς ἐπῳδῆς τȣ̃δαφος ἀνερρήγνυτο, καὶ ἡ ὑλακὴ τȣ̃ Κερβέρȣ πόῤῥωθεν ἠκȣ́ετο, καὶ τὸ πρᾶγμα ὑπερκάτηφες ἦν, καὶ σκυθρωπόν· 7 "ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς". Κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ ὁ Πυριφλεγέθων, καὶ τȣ̃ Πλȣ́τωνος 8 τὰ βασίλεια. Κατελθόντες δ' ὅμως διὰ τȣ̃ χάσματος, τὸν μὲν Ῥαδάμανθυν εὕρομεν τεθνεῶτα μικρȣ̃ δεῖν ὑπὸ τȣ̃ δέȣς· ὁ δὲ Κέρβερος ὑλάκτησε μέντοι, καὶ παρεκίνησε. Ταχὺ δὲ μȣ κρȣ́σαντος 9 τὴν λύραν, παραχρῆμα ἐκοιμήθη ὑπὸ τȣ̃ μέλȣς. Ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἤλθομεν,

7 Ἔδδεισεν, &c.] Vid. Hom. Il. υ'. v. 61.

8 Τὰ βασίλεια] Subaud. οἰκήματα.

9 Τὴν λύραν] Allusum est ad Orpheum, de quo Horat. carm. lib. III.

Cessit immanis tibi blandienti
Janitor aulæ
Cerberus, &c. et Virg. Georg. 4.
———*tenuitque inhians tria Cerberus ora.*

[1] μικρȣ͂ μὲν ȣ̓δ᾽ ἐπιραιώθημεν. Ἦν γὰρ ἤδη πλῆρες τὸ πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεων. Τραυματίαι δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλὴν, ὁ δὲ ἄλλό τι συντετριμμένος· ἐμοὶ δοκεῖν ἔκ τινος πολέμȣ παρόντες. Ὅμως δ᾽ ȣ͂ν ὁ βέλτιστος Χάρων, ὡς εἶδε [2] τὴν λεοντῆν, οἰηθείς με τὸν Ἡρακλέα εἶναι, ἐσεδέξατό με, καὶ διεπόρθμευσέ τε ἄσμενος, καὶ ἀποβᾶσι διεσήμαινε τὴν ἀτραπόν.

11. Ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, προῄει μὲν ὁ Μιθροβαρζάνης, εἱπόμην δ᾽ ἐγὼ κατόπιν ἐχόμενος αὐτȣ͂, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνȣ́μεθα, τῷ ἀσφοδέλῳ κατάφυτον· ἔνθα δὴ περιεπέτοντο ἡμᾶς τετριγυῖαι τῶν νεκρῶν αἱ σκιαί. [3] Κατ᾽ ὀλίγον δὲ προϊόντες, παρεγενόμεθα πρὸς τὸ τȣ͂ Μίνω δικαστήριον. Ἐτύγχανε δὲ ὁ μὲν ἐπὶ θρόνȣ τινὸς ὑψηλȣ͂ καθήμενος. Παρειστήκεισαν δὲ αὐτῷ Ποιναὶ, καὶ Ἀλάστορες, καὶ Ἐριννύες· ἑτέρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἁλύσει μακρᾷ δεδεμένοι· ἐλέγοντο δὲ εἶναι μοιχοὶ, καὶ πορνοβοσκοὶ, καὶ τελῶναι, καὶ κόλακες, καὶ συκοφάνται, καὶ τοιȣ̂τος ὅμιλος τῶν πάντα κυκώντων ἐν τῷ βίῳ. Χωρὶς δὲ, οἵ τε πλȣ́σιοι, καὶ τοκογλύφοι προσῄεσαν,

1 Μικρȣ͂ μὲν, &c.] Μικρȣ͂ vel ὀλίγȣ pro ὥστε ἀπὸ μικρȣ͂ vel ὀλίγȣ πράγματος δεῖν usurpatur. Vid. Vig.

2 Τὴν λεοντῆν] Subaudit. δορὰν.

3 Κατ᾽ ὀλίγον δὲ] Subaudit. διάστημα.

ἤεσαν, ὠχροὶ, καὶ προγάστορες, καὶ ποδαγροὶ, κλοιὸν ἕκαστος αὐτῶν καὶ κόρακα διτάλαντον ἐπικείμενος· ἐφεστῶτες οὖν ἡμεῖς ἑωρῶμέν τε τὰ γιγνόμενα, καὶ ἠκούομεν τῶν ἀπολογουμένων. Κατηγόρουν δὲ αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες. ΦΙΛΩ. Τίνες οὗτοι πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν. ΜΕ. Οἶσθα που ταυτασὶ τὰς πρὸς τὸν ἥλιον ἀποτελουμένας σκιὰς ἀπὸ τῶν σωμάτων; ΦΙΛΩ. Πάνυ μὲν οὖν. ΜΕ. Αὗται τοίνυν, ἐπειδὰν ἀποθάνωμεν, κατηγοροῦσι τε, καὶ καταμαρτυροῦσι, καὶ διελέγχουσι τὰ πεπραγμένα ἡμῖν παρὰ τὸν βίον· καὶ σφόδρα τινὲς αὐτῶν ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ συνοῦσαι, καὶ μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων.

12. Ὁ δ᾽ οὖν Μίνως ἐπιμελῶς ἐξετάζων ἀπέπεμπεν ἕκαστον ἐς τὸν τῶν ἀσεβῶν χῶρον, δίκην ὑφέξοντα κατ᾽ ἀξίαν τῶν τετολμημένων. Καὶ μάλιστα ἐκείνων ἥπτετο, τῶν ἐπὶ πλούτοις τε καὶ ἀρχαῖς τετυφωμένων, καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι περιμενόντων, τήν τε ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν καὶ τὴν ὑπεροψίαν μυσαττόμενος· καὶ ὅτι μὴ ἐμέμνηντο θνητοί τε ὄντες αὐτοὶ, καὶ θνητῶν ἀγαθῶν τετυχηκότες. Οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλούτους λέγω, καὶ γένη, καὶ δυναστείας, γυμνοὶ κάτω νενευκότες, παρειστήκεισαν, ὥσπερ τινα ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ᾽ ἡμῖν εὐδαιμονίαν. Ὥστε ἔγωγε ταῦθ᾽ ὁρῶν ὑπερέχαιρον.

ρον. Καὶ εἴ τινα γνωρίσαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῇ πως, ὑπεμίμνησκον οἷος ἦν παρὰ τόν βίον, καὶ ἡλίκον ἐφύσα τότε, ἡνίκα πολλοὶ μὲν ἕωθεν ἐπὶ τῶν πυλώνων πωρειστήκεισαν, τὴν πρόοδον αὐτοῦ περιμένοντες, ὠθούμενοί τε, καὶ ἀποκλειόμενοι πρὸς τῶν οἰκετῶν. Ὁ δὲ μόγις ἄν ποτε ἀνατείλας αὐτοῖς πορφυροῦς τις, ἢ περίχρυσος, ἢ διαποίκιλος, εὐδαίμονας ᾤετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσειπόντας, ἢν τὸ στῆθος, ἢ τὴν δεξιὰν προτείνων δοίη καταφιλεῖν. Ἐκεῖνοι μὲν οὖν ἠνιῶντο ἀκούοντες.

13. Τῷ δὲ Μίνωϊ μία τις καὶ πρός χάριν ἐδικάσθη δίκη· τὸν γάρ τοι Σικελιώτην Διονύσιον, πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῆς στοᾶς καταμαρτυρηθέντα, παρελθὼν Ἀρίστιππος ὁ Κυρηναῖος (ἄγουσι δ' αὐτὸν ἐν τιμῇ, καὶ δύναται μέγιστον ἐν τοῖς κάτω) μικροῦ δεῖν τῇ Χιμαίρᾳ προσδεθέντα παρέλυσε τῆς καταδίκης, λέγων πολλοῖς αὐτὸν τῶν πεπαιδευμένων πρὸς ἀργύριον γενέσθαι δεξιόν.

14. [4] Ἀποστάντες δὲ ὅμως τοῦ δικαστηρίου, πρὸς τὸ κολαστήριον ἀφικνούμεθα. Ἔνθα δή, ὦ φίλε, πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαί τε, καὶ ἰδεῖν· μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο, καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων, καὶ στρέβλαι, καὶ κύφωνες, καὶ τροχοί· καὶ ἡ Χί-

[4] Ἀποστάντες δὲ ὅμως]. forsan ἡμεῖς.

μαιρα ἐσπάραττε, καὶ ὁ Κέρβερος ἐδάρδαπτε. Ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πτωχοί· καὶ μετέμελε πᾶσι τῶν τετολμημένων. Ἐνίους δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν τῶν ἔναγχος τετελευτηκότων. Οἱ δὲ ἐνεκαλύπτοντο, καὶ ἀπεστρέφοντο· εἰ δὲ καὶ προσβλέποιεν, μάλα δουλοπρεπές τε, καὶ κολακευτικόν· καὶ ταῦτα, πῶς οἴει, βαρεῖς ὄντες, καὶ ὑπερόπται παρὰ τὸν βίον; τοῖς μέντοι πένησιν [5] ἡμιτέλεια τῶν κακῶν ἐδέδοτο· καὶ ἀναπαυόμενοι πάλιν ἐκολάζοντο. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὸν γηγενῆ Τιτυόν. Ἡράκλεις ὅσος! Ἔκειτο γὰρ [6] τόπον ἐπέχων ἀγροῦ.

15. Διελθόντες δὲ καὶ τούτους, ἐς τὸ πεδίον ἐσβάλλομεν, τὸ Ἀχερούσιον· εὑρίσκομέν τε αὐτόθι τοὺς ἡμιθέους τε, καὶ τὰς ἡρωΐνας, καὶ τὸν ἄλλον ὅμιλον τῶν νεκρῶν κατὰ ἔθνη καὶ φῦλα διαιτωμένους. Τοὺς μὲν, παλαιούς τινας, καὶ εὐρωτιῶντας, καὶ, ὥς φησιν Ὅμηρος,

5 Ἡμιτέλεια τῶν κακῶν] Τὸ ἥμισυ τῆς τιμωρίας. Schol. Μέρη autem subauditur.

6 Τόπον ἐπέχων ἀγροῦ] Hom. Od. λ'. v. 575.

Καὶ Τιτυὸν εἶδον Γαίης ἐρικυδέος υἱὸν,
Κείμενον ἐν δαπέδῳ, ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.
————per tota novem cui jugera corpus
Porrigitur. Virg. Æn. 6.

ἐμμενηνῦς· τῦς δὲ, νεαλεῖς καὶ συνεστηκότας· καὶ μάλιστα τῦς Αἰγυπτίων αὐτῦς, διὰ τὸ πολυαρκὲς [7] τῆς ταριχείας. Τὸ μέντοι διαγινώσκειν ἕκαστον, ῦ πάνυ τι ἦν ῥᾴδιον· ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίνονται ὅμοιοι, τῶν ὀστέων γεγυμνωμένων· πλὴν μόγις καὶ διὰ πολλῦ ἀναθεωρῦντες αὐτῦς ἐγινώσκομεν. Ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι, καὶ ῦδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες· ἀμέλει, πολλῶν ἐν ταὐτῷ σκελετῶν κειμένων, καὶ πάντων ὁμοίων, φοβερόν τι καὶ διάκενον δεδορκότων, καὶ γυμνῦς τῦς ὀδόντας προφαινόντων, ἠπόρῦν πρὸς ἐμαυτὸν, ᾧ τινι διακρίναιμι τὸν Θερσίτην ἀπὸ τῦ καλῦ Νιρέως, ἢ τὸν μεταίτην Ἶρον, ἀπὸ τῦ [8] Φαιάκων βασιλέως, ἢ Πυῤῥίαν τὸν μάγειρον ἀπὸ τῦ Ἀγαμέμνονος· ῦδὲν γὰρ ἔτι τῶν παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἄδηλα, καὶ ἀνεπίγραφα, καὶ ὑπ' ῦδενὸς ἔτι διακρίνεσθαι δυνάμενα.

16. Τοιγάρτοι ἐκεῖνα ὁρῶντι ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι μακρᾷ προσεοικέναι, χορηγεῖν δὲ καὶ διατάττειν ἕκαστα ἡ τύχη, διάφορα καὶ ποικίλα τοῖς πομπεύῦσι σχήματα προσάπτῦσα. Τὸν μὲν γὰρ λαβῦσα ἡ τύχη βασιλικῶς διεσκεύασε, τιάραν τε ἐπιθεῖσα, καὶ δορυφόρῦς παραδῦσα, καὶ τὴν

7 Τῆς ταριχείας] De hoc more apud Ægyptios vid. Herod. Euterp.

8 Φαιάκων βασιλέως] Alcinoum intelligit.

κεφαλὴν

κεφαλὴν ςέψασα τῷ διαδήματι· τῷ δὲ, οἰκέτȣ σχῆμα περιέθηκε· τὸν δέ τινα καλὸν εἶναι ἐκόσμησε· τὸν δὲ, ἄμορφον καὶ γελοῖον παρεσκεύασε· παντοδαπὴν γὰρ οἶμαι δεῖν γενέσθαι τὴν θέαν. Πολλάκις δὲ διὰ μέσης τῆς πομπῆς μετέβαλε τὰ ἐνίων σχήματα, ȣκ ἐῶσα ἐς τέλος διαπομπεῦσαι ὡς ἐτάχθησαν· ἀλλὰ μεταμφιέσασα, τὸν μὲν Κροῖσον ἠνάγκασε τὴν τȣ̃ οἰκέτȣ καὶ αἰχμαλώτȣ σκευὴν ἀναλαβεῖν. τὸν δὲ Μαιάνδριον, τέως ἐν τοῖς οἰκέταις πομπεύοντα, [9] τὴν Πολυκράτȣς τυραννίδα μετενέδυσε· καὶ μέχρι μέν τινος εἴασε χρῆσθαι τῷ σχήματι. Ἐπειδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τηνικαῦτα ἕκαςος ἀποδȣ̀ς τὴν σκευὴν, καὶ ἀποδυσάμενος τὸ σχῆμα μετὰ τȣ̃ σώματος, ὥσπερ ἦν πρὸ τȣ̃, γιγνεται, μηδὲν τȣ̃ πλησίον διαφέρων. Ἔνιοι δὲ ὑπ' ἀγνωμοσύνης, ἐπειδὰν ἀπαιτῇ τὸν κόσμον ἐπιςᾶσα ἡ τύχη, ἄχθονταί γε, καὶ ἀγανακτȣ̃σιν, ὥσπερ οἰκείων τινῶν ςερισκόμενοι, καὶ ȣ̓χ, ἃ πρὸς ὀλίγον ἐχρήσαντο, ἀποδιδόντες. Οἶμαι δὲ καὶ τῶν ἐπὶ τῆς σκηνῆς πολλάκις ἑωρακέναι τȣ̀ς τραγικȣ̀ς ὑποκριτὰς τȣ́τȣς πρὸς τὰς χρείας τῶν δραμάτων ἄρτι μὲν Κρέοντας, ἐνίοτε δὲ Πριάμȣς γιγνομένȣς, ἢ Ἀγαμέμνονας· καὶ ὁ αὐτὸς, εἰ τύχοι, μικρὸν ἔμπροσθεν μάλα σεμνῶς τὸ τȣ̃ Κέκροπος ἢ Ἐρεχθέως

9 Τὴν Πολυκράτȣς, &c.] Mæandrius, qui scriba tantùm Polycratis fuit, post eum Sami imperium obtinebat. Vid. Herod. Thal.

σχῆμα

σχῆμα μιμησάμενος, μετ᾽ ὀλίγον οἰκέτης προῆλθεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος. Ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος, ἀποδυσάμενος ἕκαστος αὐτῶν τὴν χρυσόπαστον ἐκείνην ἐσθῆτα, καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ καταβὰς ἀπὸ τῶν ἐμβατῶν, πένης καὶ ταπεινὸς περιέρχεται· οὐκ ἔτ᾽ Ἀγαμέμνων ὁ Ἀτρέως, οὐδὲ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους Σουνιεὺς ὀνομαζόμενος, ἢ Σάτυρος ὁ Θεογείτωνος Μαραθώνιος. Τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγματά ἐστιν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

17. ΦΙΛΩ. Εἰπέ μοι, ὦ Μένιππε, οἱ δὲ τοὺς πολυτελεῖς τούτους καὶ ὑψηλοὺς τάφους ἔχοντες ὑπὲρ γῆς, καὶ στήλας, καὶ εἰκόνας, καὶ ἐπιγράμματα, οὐδὲν τιμιώτεροι παρ᾽ αὐτοῖς εἰσι τῶν ἰδιωτῶν νεκρῶν; ΜΕ. Ληρεῖς ὦ οὗτος. Εἰ γὰρ ἐθεάσω τὸν Μαυσωλὸν αὐτὸν, (λέγω δὲ τὸν Κᾶρα, τὸν ἐκ τοῦ τάφου περιβόητον) εὖ οἶδα ὅτι οὐκ ἂν ἐπαύσω γελῶν. Οὕτω ταπεινῶς ἔρριπτο ἐν παραβύστῳ που, λανθάνων ἐν τῷ λοιπῷ δήμῳ τῶν νεκρῶν· ἐμοὶ δοκεῖν, τοσοῦτον ἀπολαύων τοῦ μνήματος, παρ᾽ ὅσον ἐβαρύνετο τηλικοῦτον ἄχθος ἐπικείμενος. Ἐπειδὰν γὰρ, ὦ ἑταῖρε, ὁ Αἰακὸς ἀπομετρήσῃ ἑκάστῳ τὸν τόπον, (δίδωσι δὲ τὸ μέγιστον [1] οὐ πλέον ποδὸς) ἀνάγκη ἀγαπῶντα κατακεῖσθαι, πρὸς

1 Οὐ πλέον ποδὸς]. Καὶ γὰρ ἐπὶ τῶν πυρὶ θαπτομένων μόγις ποδιαίου τόπον ἡ σποδὸς ἐπίσχει. Schol.

σὸ

τὸ μέτρον συνεσταλμένον. Πολλῷ δ᾽ ἂν οἶμαι μᾶλλον ἐγέλας, εἰ ἐθεάσω τοὺς παρ᾽ ἡμῖν βασιλέας, καὶ σατράπας, πτωχεύοντας παρ᾽ αὐτοῖς, καὶ ἤτοι ταριχοπωλοῦντας ὑπ᾽ ἀπορίας, [2] ἢ τὰ πρῶτα διδάσκοντας γράμματα, καὶ ὑπὸ τοῦ τυχόντος ὑβριζομένους, καὶ κατὰ κόῤῥης παιομένους, ὥσπερ τῶν ἀνδραπόδων τὰ ἀτιμότατα. Φίλιππον γοῦν τὸν Μακεδόνα ἐγὼ θεασάμενος, οὐδὲ κρατεῖν ἐμαυτοῦ δυνατὸς ἦν. [3] Ἐδείχθη δέ μοι ἐν γωνιδίῳ τινὶ μισθοῦ ἀκούμενος τὰ σαθρὰ τῶν ὑποδημάτων. Πολλοὺς δὲ καὶ ἄλλους ἦν ἰδεῖν ἐν ταῖς τριόδοις μεταιτοῦντας, Ξέρξας λέγω, καὶ Δαρείους, καὶ Πολυκράτεις.

13. ΦΙΛΩ. Ἄτοπα διηγῇ τὰ περὶ τῶν βασιλέων, καὶ μικροῦ δεῖν ἄπιστα. Τί δὲ ὁ Σωκράτης ἔπραττε, καὶ Διογένης, καὶ εἴ τις ἄλλος τῶν σοφῶν; ΜΕ. Ὁ μὲν Σωκράτης κἀκεῖ περιέρχεται διελέγχων ἅπαντας· σύνεισι δ᾽ αὐτῷ Παλαμήδης, καὶ Ὀδυσσεὺς, καὶ Νέστωρ, καὶ εἴ τις ἄλλος λάλος νεκρός· ἔτι μέντοι ἐπεφύσητο αὐτῷ, καὶ διῳδήκει ἐκ τῆς φαρμακοποσίας τὰ σκέλη· ὁ δὲ βέλτιστος Διογένης παροικεῖ μὲν Σαρδαναπάλῳ τῷ Ἀσσυρίῳ, καὶ Μίδᾳ τῷ Φρυγὶ, καὶ ἄλλοις τισὶ τῶν πολυτελῶν. Ἀκούων

2 Ἢ τὰ πρῶτα, &c.] Ad Dionysium Siciliæ tyrannum alludere videtur. De quo vid. Just. lib. 21. c. 25.

3 Ἐδείχθη δέ μοι, &c.] Ἴσως ἐπὶ τῷ τάφῳ Φιλίππου σκυτεῖον ὕστερον συνέστη, καὶ τοῦτο παίζει. Schol.

δὲ οἰμωζόντων αὐτῶν, καὶ τὴν παλαιὰν τύχην ἀναμετρουμένων, γελᾷ τε, καὶ τέρπεται· καὶ τὰ πολλὰ ὕπτιος κατακείμενος ᾄδει μάλα τραχείᾳ καὶ ἀπηνεῖ τῇ φωνῇ, τὰς οἰμωγὰς αὐτῶν ἐπικαλύπτων, ὥστε ἀνιᾶσθαι τοὺς ἄνδρας, καὶ διασκέπτεσθαι μετοικεῖν, οὐ φέροντας τὸν Διογένην.

10. ΦΙΛΩ. Ταυτὶ μὲν ἱκανῶς. Τί δὲ τὸ ψήφισμα ἦν, ὅπερ ἐν ἀρχῇ ἔλεγες κεκυρῶσθαι κατὰ τῶν πλουσίων; ΜΕ. Εὖγε ὑπέμνησας· οὐ γὰρ οἶδ' ὅπως περὶ τούτου λέγειν προθέμενος, πάμπολυ ἀπεπλανήθην τοῦ λόγου. Διατρίβοντος γάρ μου παρ' αὐτοῖς, προὔθεσαν οἱ πρυτάνεις ἐκκλησίαν περὶ τῶν κοινῇ συμφερόντων. Ἰδὼν οὖν πολλοὺς συνθέοντας, ἀναμίξας ἐμαυτὸν τοῖς νεκροῖς, εὐθὺς εἷς καὶ αὐτὸς ἦν τῶν ἐκκλησιαστῶν. Διῳκήθη μὲν οὖν καὶ ἄλλα· τελευταῖον δὲ τὸ περὶ τῶν πλουσίων· ἐπεὶ γὰρ αὐτῶν κατηγόρητο πολλὰ, καὶ δεινὰ, βία, καὶ ἀλαζονεία, καὶ ὑπεροψία, καὶ ἀδικία, τέλος ἀναστάς τις τῶν δημαγωγῶν, ἀνέγνω ψήφισμα τοιοῦτον.

ΨΗΦΙΣΜΑ.

20. ἘΠΕΙΔΗ' πολλὰ καὶ παράνομα οἱ πλεῖστοι δρῶσι παρὰ τὸν βίον, ἁρπάζοντες, καὶ βιαζόμενοι, καὶ πάντα τρόπον τῶν πενήτων καταφρονοῦντες, δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ, ἐπειδὰν ἀποθάνωσι, τὰ μὲν σώματα αὐτῶν κολάζεσθαι, καθάπερ τὰ τῶν ἄλλων πονηρῶν· τὰς δὲ ψυχὰς, ἀναπεμφθείσας ἄνω ἐς τὸν βίον, καταλύεσθαι ἐς τοὺς ὄνους, ἄχρις ἂν ἐν τῷ τοιούτῳ διαγάγωσι μυριάδας ἐτῶν πέντε καὶ εἴκοσιν, ὄνοι ἐξ ὄνων γιγνόμενοι, καὶ ἀχθοφοροῦντες, καὶ ὑπὸ τῶν πενήτων ἐλαυνόμενοι. Τοὐντεῦθεν δὲ λοιπὸν, ἐξεῖναι αὐτοῖς ἀποθανεῖν. Εἶπε τὴν γνώμην Κρανίων Σκελετίωνος, Νεκυσιεύς, [4] φυλῆς Ἀλιβαντιάδος. Τούτου ἀναγνωσθέντος τοῦ ψηφίσματος, ἐπεψήφισαν μὲν αἱ ἀρχαὶ, ἐπεχειροτόνησε δὲ τὸ πλῆθος, καὶ ἐνεβριμήσατο ἡ Βριμὼ, καὶ ὑλάκτησεν ὁ Κέρβερος. Οὕτω γὰρ ἐντελῆ γίγνεται καὶ κύρια τὰ ἀνεγνωσμένα.

21. Ταῦτα μὲν δή σοι τὰ ἐν τῇ ἐκκλησίᾳ. Ἐγὼ δὲ, οὗπερ ἀφίγμην ἕνεκα, τῷ Τειρεσίᾳ προσελθὼν, ἱκέτευον αὐτὸν, τὰ πάντα διηγησάμενος, εἰπεῖν πρός

4 Φυλῆς Ἀλιβαντιάδος] Lepidè finxit hanc vocem, ut illas quæ præcedunt. Ἀλίβαντες sunt νεκροί.. Vid. Hes. Græviu s.

με ποῖόν τινα ἡγεῖται τὸν ἄριστον βίον. Ὁ δὲ γελάσας, (ἔστι δὲ τυφλόν τι γερόντιον, καὶ ὠχρὸν, καὶ λεπτόφωνον) ὦ τέκνον, φησὶ, τὴν μὲν αἰτίαν οἶδα σοῦ τῆς ἀπορίας, ὅτι παρὰ τῶν σοφῶν ἐγένετο, οὐ ταὐτὰ γιγνωσκόντων ἑαυτοῖς. Ἀτὰρ οὐ θέμις λέγειν πρὸς σέ· ἀπείρηται γὰρ ὑπὸ τοῦ Ῥαδαμάνθυος. Μηδαμῶς ἔφην, ὦ Πατέριον, ἀλλ' εἰπὲ, καὶ μὴ περιίδῃς με σοῦ τυφλότερον περιιόντα ἐν τῷ βίῳ. Ὁ δὲ δή με ἀπαγαγὼν, καὶ [5] πολὺ τῶν ἄλλων ἀποσπάσας, ἠρέμα προσκύψας πρὸς τὸ οὖς, φησὶν, ὁ τῶν ἰδιωτῶν ἄριστος βίος, καὶ σωφρονέστερος· ὡς τῆς ἀφροσύνης παυσάμενος τοῦ μετεωρολογεῖν, καὶ τέλη, καὶ ἀρχὰς ἐπισκοπεῖν, καὶ καταπτύσας τῶν σοφῶν τούτων συλλογισμῶν, καὶ τὰ τοιαῦτα λῆρον ἡγησάμενος, τοῦτο μόνον ἐξ ἅπαντος θηράσῃ, ὅπως τὸ παρὸν εὖ θέμενος, παραδράμῃς γελῶν τὰ πολλὰ, καὶ περὶ μηδὲν ἐσπουδακώς. Ὣς εἰπὼν, πάλιν ὦρτο [6] κατ' Ἀσφοδελὸν λειμῶνα.

22. Ἐγὼ δὲ, καὶ γὰρ ἤδη ὀψὲ ἦν, ἄγε δὴ, ὦ Μιθροβαρζάνη, φημὶ, τί διαμέλλομεν, καὶ οὐκ ἄπιμεν αὖθις ἐς τὸν βίον; ὁ δὲ πρὸς ταῦτα, Θάρρει, φησὶν, ὦ Μένιππε, ταχεῖαν γάρ σοι καὶ ἀπράγμονα ὑποδείξω

5 Πολὺ τῶν ἄλλων] Integrè πολὺ διάστημα ἀπὸ τῶν ἄλλων.

6 Κατ' Ἀσφοδελὸν] Ἀσφόδελος τὸ φυτὸν, ἀσφοδελὸς δὲ ὁ τόπος ἐν ᾧ φύεται. Schol.

ἀτραπόν. Καὶ δὴ ἀπαγαγών με πρός τι χωρίον τοῦ ἄλλου ζοφερώτερον, δείξας τῇ χειρὶ πόῤῥωθεν ἀμαυρόν τι καὶ λεπτὸν ὥσπερ διὰ κλειθρίας ἐσρέον φῶς, ἐκεῖνο, ἔφη, ἐστὶ τὸ ἱερὸν τοῦ Τροφωνίου, κἀκεῖθεν κατέρχονται οἱ ἀπὸ Βοιωτίας· ταύτην οὖν ἄνιθι, καὶ εὐθὺς ἔσῃ ἐπὶ τῆς Ἑλλάδος. Ἡσθεὶς δὲ τοῖς εἰρημένοις ἐγὼ, καὶ τὸν μάγον ἀσπασάμενος, χαλεπῶς μάλα διὰ τοῦ στομίου ἀνερπύσας, οὐκ οἶδ᾽ ὅπως ἐν Λεβαδείᾳ γίγνομαι.



Dialog. XVII.

ΧΑΡΩΝ, ἢ ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ.

ΕΡΜΗΣ.

1. ΤΙ' γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπολιπὼν, δεῦρο ἀνελήλυθας ἐς τὴν παροῦσαν ἡμέραν, οὐ πάνυ εἰωθὼς ἐπιχωριάζειν τοῖς ἄνω πράγμασιν; ΧΑ. Ἐπεθύμησα, ὦ Ἑρμῆ, ἰδεῖν ὁμοιά ἐστι τὰ ἐν τῷ βίῳ, καὶ ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ· ἢ τίνων στερούμενοι πάντες οἰμώζουσι, κατιόντες παρ᾽ ἡμᾶς. Οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. Αἰτησάμενος οὖν παρὰ τοῦ ᾅδου καὶ αὐτὸς, ὥσπερ καὶ [7] ὁ Θετταλὸς

7 Ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος] Protesilaus, qui uxorem Laodamiam usque adeo in deliciis habuit, ut cum *Hectoreâ hastâ* ad Inferos

ʇαλὸς ἐκεῖνος νεανίσκος, μίαν ἡμέραν λειπόνεως γίνεσθαι, ἀνελήλυθα ἐς τὸ φῶς· καὶ μοι δοκῶ ἐς δέον ἐνʇετυχηκέναι σοι. Ξεναγήσεις γάρ· εὖ οἶδ' ὅτι με ξυμπερινοςῶν, καὶ δείξεις ἕκαςα, ὡς ἂν εἰδὼς ἅπανʇα. ΕΡ. Οὐ σχολή μοι, ὦ πορθμεῦ· ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διὶ τῶν ἀνθρωπικῶν. Ὁ δὲ ὀξύθυμός τέ ἐςι, καὶ δέδια μὴ βραδύνανʇά με ὅλον ὑμέτερον ἐάσῃ εἶναι, παραδοὺς τῷ ζόφῳ· ἢ [8] ὅπερ τὸν Ἥφαιςον πρώην ἐποίησε, ῥίψῃ κἀμὲ τεʇαγὼν τοῦ ποδὸς ἀπὸ τοῦ θεσπεσίου βηλοῦ ὡς ὑποσκάζων γέλωʇα παρέχοιμι καὶ αὐτὸς οἰνοχοῶν. ΧΑ. Περιόψει οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς, καὶ ταῦτα, ἑταῖρος, καὶ ξύμπλους, καὶ συνδιάκʇορος ὤν; καὶ μὴν καλῶς εἶχεν, ὦ παῖ Μαίας, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδὲ πώποʇέ σε ἢ ἀντλεῖν ἐκέλευσα, ἢ προσκώπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καʇαςρώμαʇος ἐκʇαθεὶς, ὤμους οὕτω καρʇεροὺς ἔχων· ἢ εἴ τινα λάλον νεκρὸν εὕροις, ἐκείνῳ παρ' ὅλον τὸν πλοῦν διαλέγῃ. Ἐγὼ δὲ πρεσβύτης ὤν, τὴν δικωπίαν ἕλκων, ἐρέτʇω μόνος.

Inferos demissus fuerit, Poetæ illum à Plutone unam noctem impetrâsse fabulentur, quâ superas ad auras evaderet, ut uxorem viseret. Unde illud Propertii lib.

Illic Phylacidas jucundæ Conjugis Heros
Non potuit cæcis immemor esse locis:
Sed, cupidus falsis attingere gaudia palmis,
Thessalis antiquam venerat umbra domum.

8 Ὅπερ τὸν Ἥφαιςον] Vid. Hom. Il. ά. v. 591.

Ἀλλὰ

Ἀλλὰ πρὸς τοῦ πατρὸς, ὦ φίλτατον Ἑρμήδιον, μή καταλίπῃς με· περιήγησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὥς τι καὶ ἰδὼν ἐπανέλθοιμι. Ὡς ἤν με σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω. Καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται διολισθαίνοντες ἐν τῷ σκότῳ, οὕτω δή κἀγώ σοι πάλιν ἀμβλυώττω πρὸς τὸ φῶς. Ἀλλὰ δὸς, ὦ Κυλλήνιε, μοι ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν.

2. ΕΡ. Τουτὶ τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί μοι. Ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυλον παντάπασιν ἡμῖν ἐσόμενον· ὑπουργητέον δὲ ὅμως. Τὶ γὰρ ἂν καὶ πάθῃ τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; πάντα μὲν οὖν σε ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν, ὦ πορθμεῦ. Πολλῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο. Εἶτα ἐμὲ μὲν κηρύττεσθαι δεήσει, καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός· σὲ δὲ καὶ αὐτὸν κωλύσει ἐνεργεῖν τὰ τοῦ θανάτου ἔργα, [9] καὶ τὴν Πλούτωνος ἀρχὴν ζημιοῦν, μὴ νεκραγωγοῦντα πολλοῦ τοῦ χρόνου. Καὶ ὁ τελώνης Αἰακὸς ἀγανακτήσει, μηδ' ὀβολὸν ἐμπολῶν. Ὡς δὲ τὰ κεφάλαια τῶν γιγνομένων ἴδῃς, τοῦτ' ἤδη σκεπτέον. ΧΑ. Αὐτὸς, ὦ Ἑρμῆ, ἐπινόει τὸ βέλτιστον· ἐγὼ δὲ οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς, ξένος ὤν. ΕΡ. Τὸ μὲν ὅλον, ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν ἔδει χωρίου, ὡς ἀπ' ἐκείνου πάντ' ἴδοις· σὺ δὲ, εἰ μὲν ἐς τὸν οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν,

9 Καὶ ζημιοῦν] Pro ὥστε καὶ ζημιοῦν.

οὐκ

ἐκ ἂν ἔκαμνον· ἐκ περιωπῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας. Ἐπεὶ δὲ ἐ θέμις εἰδώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τᾶ Διὸς, ὥρα ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.

3. ΧΑ. Οἶσθα, ὦ Ἑρμῆ, ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς ὑμᾶς, ἐπειδὰν πλέωμεν; ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ, καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑμεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὀθόνην στεῖλαι, ἢ ἐνδᾶναι ὀλίγον τᾶ ποδὸς, ἢ συνεκδραμεῖν τῷ πνεύματι· ἐγὼ δὲ τὴν ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὰ βελτίω. Κατὰ ταυτὰ δὴ καὶ σὺ πράττε, ὁπόσα καλῶς ἔχειν νομίζεις, κυβερνήτης νῦν γε ὤν. Ἐγὼ δὲ, ὥσπερ ἐπιβάταις νόμος, σιωπῇ καθεδᾶμαι, πάντα πειθόμενος κελεύοντί σοι. ΕΡ. Ὀρθῶς λέγεις· αὐτὸς γὰρ εἴσομαι τί ποιητέον, κἀξευρήσω τὴν ἱκανὴν σκοπήν. Ἆρ' ἂν ὁ Καύκασος ἐπιτήδειος, ἢ ὁ Παρνασσὸς ὑψηλότερος, ἢ ἀμφοῖν ὁ Ὄλυμπος ἐκεινοσί; καίτοι ἐ φαῦλόν τι ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών. Συγκαμεῖν δέ τι καὶ ὑπεργῆσαι καὶ σὲ δεῖ. ΧΑ. Πρόσταττε. Ὑπεργήσω γὰρ ὅσα δυνατά. ΕΡ. Ὅμηρος ὁ ποιητὴς φησι [o] τὰς Ἀλωέως υἱέας, δύο καὶ αὐ-

o Τὰς Ἀλωέως υἱέας] Otum et Ephialtem. V. Hom. Od. λ'. v. 305. et deinceps.

τὰς

τὺς ὄντας, ἔτι παῖδας, ἐθελῆσαί ποτε τὴν Ὄσσαν ἐκ βάθρων ἀνασπάσαντας, ἐπιθεῖναι τῷ Ὀλύμπῳ· εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰομένους, καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. Ἐκείνω μὲν οὖν τὼ μειρακίω, ἀτασθάλω γὰρ ἤστην, δίκας ἐτισάτην· Νὼ δὲ (οὐ γὰρ ἐπὶ κακῷ τῶν Θεῶν ταῦτα βουλεύομεν) τί οὐχὶ οἰκοδομοῦμεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπάλληλα τὰ ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν;

4. ΧΑ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύω ὄντες ἀναθέσθαι ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν; ΕΡ. Διὰ τί δ' οὐκ ἄν, ὦ Χάρων; ἢ ἀξιοῖς ἡμᾶς ἀγεννεστέρους εἶναι τοῖν βρεφυλλίοιν ἐκείνοιν; καὶ ταῦτα Θεοὺς ὑπάρχοντας; ΧΑ. Οὔκ· ἀλλὰ τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα τὴν μεγαλουργίαν ἔχειν. ΕΡ. Εἰκότως. Ἰδιώτης γὰρ εἶ, ὦ Χάρων, καὶ ἥκιστα ποιητικός· ὁ δὲ γεννάδας Ὅμηρος ἀπὸ δυοῖν στίχοιν αὐτίκα ἡμῖν ἀμβατὸν ἐποίησε τὸν οὐρανόν, οὕτω ῥαδίως συντιθεὶς τὰ ὄρη. Καὶ θαυμάζω εἴ σοι ταῦτα τεράστια εἶναι δοκεῖ, τὸν Ἄτλαντα δηλαδὴ εἰδότι, [1] ὃς τὸν πόλον αὐτὸν εἷς ὢν φέρει, ἀνέχων ἡμᾶς ἅπαντας. Ἀκούεις δὲ ἴσως καὶ τοῦ ἐμοῦ ἀδελφοῦ πέρι, τοῦ Ἡρακλέος, [2] ὡς διαδέξαιτό ποτε αὐτὸν ἐκεῖνον τὸν Ἄτλαντα, καὶ

1 Ὃς τὸν πόλον] V. Ov. Met. lib. 4. et Virg. Æn. 4.

2 Ὡς διαδέξαιτό, &c.] Vid. Apollod. lib. 2.

ἀνα-

ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους, ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ; ΧΑ. Ἀκούω καὶ ταῦτα. Εἰ δὲ ἀληθῆ ἐστι, σὺ ἄν, ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδῆτε. ΕΡ. Ἀληθέστατα, ὦ Χάρων. Ἢ τίνος γὰρ ἕνεκα σοφοὶ ἄνδρες ἐψεύδοντο ἄν; ὥστε ἀναμοχλεύωμεν τὴν Ὄσσαν πρῶτον, ὥσπερ ἡμῖν ὑφηγεῖται τὸ ἔπος, καὶ ὁ ἀρχιτέκτων Ὅμηρος, "Αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον". Ὁρᾷς, ὅπως ῥᾳδίως ἅμα καὶ ποιητικῶς ἐξειργασάμεθα; φέρε οὖν ἀναβὰς ἴδω, εἰ καὶ ταῦτα ἱκανά, ἢ ἐποικοδομεῖν ἔτι δεήσει.

5. Παπαί! κάτω ἔτι ἐσμὲν, ἐν τῇ ὑπωρείᾳ τοῦ οὐρανοῦ· ἀπὸ μὲν γὰρ τῶν ἑῴων, μόγις Ἰωνία καὶ Λυδία φαίνεται· ἀπὸ δὲ τῆς ἑσπέρας, οὐ πλέον Ἰταλίας καὶ Σικελίας· ἀπὸ δὲ τῶν ἀρκτῴων, [3] τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνα κἀκεῖθεν, ἡ Κρήτη οὐ πάνυ σαφῶς. Μετακινητέα ἡμῖν, ὦ πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς ἔοικεν· εἶτα ὁ Παρνασσὸς ἐπὶ πᾶσιν. ΧΑ. Οὕτω ποιῶμεν. Ὅρα μόνον μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον, ἀπομηκύνοντες πέρα τοῦ πιθανοῦ· εἶτα συγκαταῤῥιφθέντες αὐτῷ, πικρᾶς τῆς Ὁμήρου οἰκοδομητικῆς πειραθῶμεν, [4] ξυντριβέντες τῶν κρανίων. ΕΡ. Θάῤῥει· ἀσφαλῶς γὰρ ἕξει ἅπαντα· μετατίθει τὴν Οἴτην· ἐπικυλινδείσθω καὶ ὁ Παρνασσός. Ἰδοὺ, ἐπάνειμι αὖθις· εὖ

3 Τὰ ἐπὶ τάδε] Integrè τὰ ἐπὶ τάδε μέρη τοῦ Ἴστρου μόνα ὄντα.

4 Ξυντριβέντες τῶν κρανίων] Ἀττικὴ ἡ σύνταξις· τὸ δὲ κοινὸν, συντριβέντες τὰ κράνια. Schol. Hic *pars rei* tantùm denotatur, et hoc in causâ est, cur gen. usurpetur.

ἔχει· πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ. ΧΑ. Ὄρεξον, ὦ Ἑρμῆ, τὴν χεῖρα· ὐ γὰρ ἐπὶ μικράν με ταύτην τὴν μηχανὴν ἀναβιβάζεις. ΕΡ. Εἴγε καὶ ἰδεῖν ἐθέλεις, ὦ Χάρων, ἅπαντα, ὐκ ἔνι δὲ ἄμφω, καὶ ἀσφαλῆ καὶ φιλοθεάμονα εἶναι· ἀλλ' ἔχυ μυ τῆς δεξιᾶς, καὶ φείδυ μὴ κατὰ τῦ ὀλισθηρῦ πατεῖν· εὖγε ἀνελήλυθας καὶ σύ. Καὶ ἐπείπερ [5] δικόρυμβος ὁ Παρνασσὸς ἐστι, μίαν ἑκάτερος ἄκραν ἐπιλαβόμενοι, καθεζώμεθα· σὺ δέ μοι ἤδη ἐν κύκλῳ περιβλέπων, ἐπισκόπει ἅπαντα.

6. ΧΑ. Ὁρῶ γῆν πολλὴν, καὶ λίμνην τινὰ μεγάλην περιῤῥέυσαν, καὶ ὄρη, καὶ ποταμὺς τῦ Κωκυτῦ καὶ Πυριφλεγέθοντος μείζονας· καὶ ἀνθρώπυς πάνυ σμικρὺς, καὶ τινας φωλεὺς αὐτῶν. ΕΡ. Πόλεις ἐκεῖναί εἰσιν, ὓς φωλεὺς εἶναι νομίζεις. ΧΑ. Οἶσθα, ὦ Ἑρμῆ, ὡς ὐδὲν ἡμῖν πέπρακται, ἀλλὰ μάτην τὸν Παρνασσὸν [6] αὐτῇ Κασταλίᾳ, καὶ τὴν Οἴτην, καὶ τὰ ἄλλα ὄρη μετεκινήσαμεν. ΕΡ. Ὅτι τί; ΧΑ. Οὐδὲν ἀκριβὲς ἔγωγε ἀπὸ τῦ ὑψηλῦ ὁρῶ· ἐβυλόμην δὲ ὐ πόλεις καὶ ὄρη αὐτὰ μόνον, ὥσπερ ἐν γραφαῖς, ὁρᾶν, ἀλλὰ τὺς ἀνθρώπυς αὐτὺς, καὶ ἃ πράττυσι, καὶ οἷα λέγυσι.

5 Δικόρυμβος] Vid. Ov. Met. lib. 1.
Mons ibi verticibus petit arduus astra duobus
Nomine Parnassus.

6 Αὐτῇ Κασταλίᾳ] Castalia sons erat in radicibus Parnassi, Musis sacer.

Ὥσπερ

Ὥσπερ ὅτε με τοπρῶτον ἐντυχὼν εἶδες γελῶντα, καὶ ἤρυ με ὅ, τι γελῴην· ἀκύσας γάρ τινος, ἤσθην ἐς ὑπερβολήν. ΕΡ. Τί δὲ τῦτ' ἦν; ΧΑ. Ἐπὶ δεῖπνον, οἶμαι, κληθεὶς ὑπό τινος τῶν φίλων [7] ἐς τὴν ὑςεραίαν, μάλιςα ἥξω, ἔφη· καὶ μεταξὺ λέγοντος ἀπὸ τῦ τέγυς κεραμὶς ἐπιπεσῦσα, ὐκ οἶδ' ὅτυ κινήσαντος, ἀπέκτεινεν αὐτόν. Ἐγέλασα ὖν, ὐκ ἐπιτελέσαντος τὴν ὑπόσχεσιν. Ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι ὡς μᾶλλον βλέποιμι καὶ ἀκύοιμι.

7. ΕΡ. Ἔχ' ἀτρέμας· καὶ τῦτο γάρ ἐγὼ ἰάσομαί σοι, καὶ ὀξυδερκέςατον ἐν βραχεῖ ἀποφανῶ, παρ' Ὁμήρυ τινὰ καὶ πρὸς τῦτο ἐπῳδὴν λαβών. Κἀπειδὰν εἴπω τὰ ἔπη, μέμνησο μηκέτι ἀμβλυώττειν, ἀλλὰ σαφῶς πάντα ὁρᾶν. ΧΑ. Λέγε μόνον. ΕΡ. [8] "Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν, ὄφρ' εὖ γινώσκῃς ἠμὲν Θεὸν, ἠδὲ καὶ ἄνδρα". ΧΑ. Τί ἐςιν; ΕΡ. Ἤδη ὁρᾷς; ΧΑ. ὑπερφυῶς γε· τυφλὸς ὁ Λυγκεὺς ἐκεῖνος, [9] ὡς πρὸς ἐμέ. Ὥςε σὺ τὸ ἐπὶ τύτῳ προδίδασκέ με, καὶ ἀποκρίνυ ἐρωτῶντι· Ἀλλὰ βύλει κατὰ τὸν Ὅμηρον κἀγὼ ἔρωμαί σε, ὡς μάθῃς ὐδ' αὐτὸν ἀμελῆ ὄντα με τῶν Ὁμήρυ; ΕΡ. Καὶ πόθεν σὺ ἔχεις τὶ τῶν ἐκείνυ εἰδέναι, ναύτης ἀεὶ καὶ πρόσκωπος ὤν;

7 Ἐς τὴν ὑςεραίαν] Scilicet ἡμέραν.
8 Ἀχλὺν, &c.] Vid. Hom Il. v. 127.
9 Ὡς πρὸς ἐμέ.] Subaud. ἐξετάζεσθαι.

ΧΑ. Ὁρᾷς; ὀνειδιςικὸν τοῦτο ἐς τὴν τέχνην. Ἐγὼ δὲ ὁπότε διεπόρθμευον αὐτὸν ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος ἀκούσας, ἐνίων ἔτι μέμνημαι· καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατέλαβεν. Ἐπεὶ γὰρ ἤρξατο ἄδειν οὐ πάνυ αἴσιόν τινα ᾠδὴν τοῖς πλέουσιν, ὡς ὁ Ποσειδῶν συνήγαγε τὰς νεφέλας, καὶ ἐτάραξε τὸν πόντον, ὥσπερ τορύνην τινὰ ἐμβαλὼν τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρόθυνε, καὶ ἄλλα πολλὰ κυκῶν τὴν θάλασσαν, ὑπὸ τῶν ἐπῶν χειμὼν ἄφνω καὶ γνόφος ἐμπεσὼν, ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν τὴν ναῦν· ὅτεπερ καὶ ναυτιάσας ἐκεῖνος ἀπήμεσε τῶν ῥαψῳδιῶν τὰς πολλὰς [o] αὐτῇ Σκύλλῃ, καὶ Χαρύβδει, καὶ Κύκλωπι. ΕΡ. Οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμέτου ὀλίγα γοῦν διαφυλάττειν.

8. ΧΑ. Εἰπὲ γάρ μοι, [1] "Τίς γὰρ ὅδ' ἐςὶ πάχιςος ἀνὴρ, ἠΰς τε, μέγας τε, Ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ εὐρέας ὤμους"; ΕΡ. Μίλων οὗτος, ὁ ἐκ Κρότωνος ἀθλητής· ἐπικροτοῦσι δ' αὐτῷ οἱ Ἕλληνες, ὅτι τὸν ταῦρον ἀράμενος φέρει διὰ τοῦ ςαδίου μέσου. ΧΑ. Καὶ πόσῳ δικαιότερον ἂν ἐμὲ, ὦ Ἑρμῆ, ἐπαινοῖεν, ὃς αὐτόν σοι τὸν Μίλωνα μετ' ὀλίγον ξυλλαβὼν, ἐνθήσομαι ἐς τὸ σκαφίδιον, ὁπόταν ἥκῃ πρὸς ἡμᾶς, ὑπὸ

o Αὐτῇ Σκύλλῃ, &c.] Vid. Hom. Od. ι. et μ'. ubi hæc describit.

1 Τίς γὰρ ὅδ' ἐςὶ, &c.] Vid. Hom. Il. γ'. v. 227.

τοῦ ἀμαχωτάτου τῶν ἀνταγωνιστῶν καταπαλαισθεὶς τοῦ Θανάτου, μηδὲ ξυνεὶς ὅπως αὐτὸν ὑποσκελίζει; κᾆτα οἰμώξεται ἡμῖν δηλαδὴ, μεμνημένος στεφάνων τούτων, καὶ τοῦ κρότου. Νῦν δὲ μέγα φρονεῖ, θαυμαζόμενος ἐπὶ τῇ τοῦ ταύρου φορᾷ. Τί οὖν οἰηθῶμεν; ἆρα ἐλπίζειν αὐτὸν καὶ τεθνήξεσθαί ποτε; ΕΡ. Πόθεν ἐκεῖνος θανάτου νῦν μνημονεύσειεν ἂν ἐν ἀκμῇ τοσαύτῃ; ΧΑ. Ἔα τοῦτον οὐκ εἰς μακρὰν γέλωτα ἡμῖν παρέξοντα, ὁπότ' ἂν πλέῃ, μηδὲ ἐμπίδα, οὐχ ὅπως ταῦρον, ἔτι ἄρασθαι δυνάμενος.

9. Σὺ δέ μοι ἐκεῖνο εἰπὲ, τίς τ' ἄρ' ὅδ' ἄλλος ὁ σεμνὸς ἀνήρ; οὐχ Ἕλλην ὡς ἔοικεν ἀπὸ γοῦν τῆς στολῆς. ΕΡ. Κῦρος, ὦ Χάρων, ὁ Καμβύσου, [2] ὃς τὴν ἀρχὴν, πάλαι Μήδων ἐχόντων, νῦν Περσῶν ἤδη ἐποίησεν εἶναι· καὶ Ἀσσυρίων ἔναγχος οὗτος ἐκράτησε, καὶ Βαβυλῶνα παρεστήσατο, καὶ νῦν ἐλασείοντι ἐπὶ Λυδίαν ἔοικεν, ὡς, καθελὼν τὸν Κροῖσον, ἄρχοι ἁπάντων. ΧΑ. Ὁ Κροῖσος δὲ ποῦ ποτε κἀκεῖνός ἐστιν; ΕΡ. Ἐκεῖσε ἀπόβλεψον ἐς τὴν μεγάλην ἀκρόπολιν, [3] τὴν τὸ τριπλοῦν τεῖχος· Σάρδεις ἐκεῖναι. Καὶ τὸν Κροῖσον αὐτὸν ὁρᾷς ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον, Σόλωνι τῷ Ἀθηναίῳ διαλεγόμενον; βούλει ἀκούσωμεν αὐτῶν ὅ, τι καὶ λέγουσι; ΧΑ. Πάνυ μὲν οὖν.

[2] Ὃς τὴν ἀρχὴν, &c.] Vid. Just. lib. 1. et Herod. lib. 1. ubi et quæ sequuntur.

[3] Τὴν τὸ τριπλοῦν τεῖχος] Subaud. ἔχουσαν.

10. ΚΡΟΙ.

10. ΚΡΟΙ. Ὦ ξένε Ἀθηναῖε, εἶδες γάρ μου τὸν πλοῦτον, καὶ τοὺς θησαυροὺς, καὶ ὅσος ἄσημος χρυσός ἐστιν ἡμῖν, καὶ τὴν ἄλλην πολυτέλειαν, εἰπέ μοι τίνα ἡγῇ τῶν πάντων ἀνθρώπων εὐδαιμονέστατον εἶναι. ΧΑ. Τί ἄρα ὁ Σόλων ἐρεῖ; ΕΡ. Θάῤῥει· οὐδὲν ἀγεννὲς, ὦ Χάρων. ΣΟ. Ὦ Κροῖσε, ὀλίγοι μὲν οἱ εὐδαίμονες· ἐγὼ δὲ ὧν οἶδα, [4] Κλέοβιν καὶ Βίτωνα ἡγοῦμαι εὐδαιμονεστάτους γενέσθαι, τοὺς τῆς ἱερείας παῖδας. ΧΑ. Τῆς Ἀργόθεν φησὶν οὗτος, τοὺς ἅμα πρώην ἀποθανόντας, ἐπεὶ, τὴν μητέρα ὑποδύντες, εἵλκυσαν ἐπὶ τῆς ἀπήνης ἄχρι πρὸς τὸ ἱερόν. ΚΡΟΙ. Ἔστω· ἐχέτωσαν τὰ πρῶτα ἐκεῖνοι τῆς εὐδαιμονίας. Ὁ δεύτερος, δὲ, τίς ἂν εἴη; ΣΟ. Τέλλος ὁ Ἀθηναῖος, ὅς εὖ τε ἐβίω, καὶ ἀπέθανεν ὑπὲρ τῆς πατρίδος. ΚΡΟΙ. Ἐγὼ δὲ, κάθαρμα, οὔ σοι δοκῶ εὐδαίμων εἶναι; ΣΟ. Οὐδέπω οἶδα, Κροῖσε, ἢν μὴ πρὸς τὸ τέλος ἀφίκῃ τοῦ βίου. Ὁ γὰρ θάνατος ἀκριβὴς ἔλεγχος τῶν τοιούτων, καὶ τὸ ἄχρι πρὸς τὸ τέρμα εὐδαιμόνως διαβιῶναι. ΧΑ. Κάλλιστα, ὦ Σόλων, ὅτι ἡμῶν οὐκ ἐπιλέλησαι, ἀλλὰ τὸ πορθμεῖον αὐτὸ ἀξιοῖς γενέσθαι τὴν περὶ τῶν τοιούτων κρίσιν.

11. Ἀλλὰ τίνας ἐκείνους ὁ Κροῖσος ἐκπέμπει, ἢ τί καὶ ἐπὶ τῶν ὤμων φέρουσι; ΕΡ. [5] Πλίνθους τῷ

4 Κλέοβιν] Vid. Herod. lib. 1. qui Tello primas attribuit, his secundas.

5 Πλίνθους, &c.] Vid. Herod. lib. 1. ubi etiam de Oraculo videre est.

Πυθίῳ

Πυθίῳ χρυσᾶς ἀναλέθησι, μισθὸν τῶν χρησμῶν, ὑφ' ὧν καὶ ἀπολεῖται μικρὸν ὕστερον· φιλόμαντις δὲ ἀνὴρ ἐκτόπως. ΧΑ. Ἐκεῖνο γάρ ἐστιν ὁ χρυσὸς τὸ λαμπρὸν, ὃ ἀποστίλϐει τὸ ὕπωχρον μετ' ἐρυθήματος; νῦν γὰρ πρῶτον εἶδον, ἀκούων ἀεί. ΕΡ. Ἐκεῖνο, ὦ Χάρων, τὸ ἀοίδιμον ὄνομα, καὶ περιμάχητον. ΧΑ. Καὶ μὴν οὐχ ὁρῶ ὅ, τι ἀγαθὸν αὐτῷ πρόσεστιν, εἰ μὴ ἄρα τοῦτο μόνον, ὅτι βαρύνονται οἱ φέροντες αὐτό. ΕΡ. Οὐ γὰρ οἶσθα ὅσοι πόλεμοι διὰ τοῦτο, καὶ ἐπίϐουλαί, καὶ λῃστήρια, καὶ ἐπιορκίαι, καὶ φόνοι, καὶ δεσμὰ, καὶ πλοῦς μακρὸς, καὶ ἐμπορίαι, καὶ δουλεῖαι; ΧΑ. Διὰ τοῦτο, ὦ Ἑρμῆ, τὸ μή πολύ τοῦ χαλκοῦ διαφέρον; οἶδα γὰρ τὸν χαλκὸν, ὀϐολὸν, ὡς οἶσθα, παρὰ τῶν καταπλεόντων ἑκάστου ἐκλέγων. ΕΡ. Ναί· Ἀλλ' ὁ χαλκὸς μὲν πολύς· ὥστε οὐ πάνυ σπουδάζεται ὑπ' αὐτῶν. Τοῦτον δὲ ὀλίγον ἐκ πολλοῦ τοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύττουσι. Πλὴν ἀλλ' ἐκ τῆς γῆς καὶ οὗτος, ὥσπερ ὁ μόλιϐδος, καὶ τἄλλα. ΧΑ. Δεινήν τινα λέγεις τῶν ἀνθρώπων τὴν ἀϐελτηρίαν, οἳ τοσοῦτον ἔρωτα ἐρῶσιν ὠχροῦ καὶ βαρέως κτήματος! ΕΡ. Ἀλλ' οὐ Σόλων γε ἐκεῖνος, ὦ Χάρων, ἐρᾷν αὐτοῦ φαίνεται, ὡς ὁρᾷς· καταγελᾷ γὰρ τοῦ Κροίσου, καὶ τῆς μεγαλαυχίας τοῦ βαρϐάρου· καί μοι δοκεῖν ἔρεσθαί τι βούλεται αὐτόν. Ἐπακούσωμεν οὖν.

12. ΣΟ. Εἰπέ μοι, ὦ Κροῖσε· οἴει γάρ τι δεῖσθαι τῶν πλίνθων τούτων τὸν Πύθιον; ΚΡΟΙ. Νὴ

Δία.

Δία. Οὐ γάρ ἐστιν αὐτῷ ἐν Δελφοῖς ἀνάθημα οὐδὲ τοιοῦτον. ΣΟ. Οὐκοῦν μακάριον οἴει τὸν Θεὸν ἀποφαίνειν, εἰ κτήσαιτο ἐν τοῖς ἄλλοις καὶ πλίνθους χρυσᾶς; ΚΡΟΙ. Πῶς γὰρ οὔ; ΣΟ. Πολλήν μοι λέγεις, ὦ Κροῖσε, πενίαν ἐν τῷ οὐρανῷ, εἰ ἐκ Λυδίας μεταστέλλεσθαι τὸ χρυσίον δεήσει αὐτοὺς, ἢν ἐπιθυμήσωσι. ΚΡΟΙ. Ποῦ γὰρ τοσοῦτος ἂν γένοιτο χρυσὸς, ὅσος παρ' ἡμῖν; ΣΟ. Εἰπέ μοι, σίδηρος δὲ φύεται ἐν Λυδίᾳ; ΚΡΟΙ. Οὐ πάνυ τι. ΣΟ. Τοῦ βελτίονος ἄρα ἐνδεεῖς ἐστε. ΚΡΟΙ. Πῶς ἀμείνων ὁ σίδηρος χρυσίου; ΣΟ. Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν, μάθοις ἄν. ΚΡΟΙ. Ἐρώτα, ὦ Σόλων. ΣΟ. Πότερον ἀμείνους οἱ σώζοντες τινὰς, ἢ οἱ σωζόμενοι πρὸς αὐτῶν; ΚΡΟΙ. Οἱ σώζοντες δηλαδή. ΣΟ. Ἆρ' οὖν ἢν Κῦρος, ὡς λογοποιοῦσί τινες, ἐπίῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποιήσῃ τῷ στρατῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε; ΚΡΟΙ. Ὁ σίδηρος δηλαδή. ΣΟ. Καὶ εἴ γε μὴ τοῦτον παρασκευάσαιο, οἴχοιτο ἄν σοι ὁ χρυσὸς ἐς Πέρσας αἰχμάλωτος. ΚΡΟΙ. Εὐφήμει, ὦ ἄνθρωπε. ΣΟ. Μὴ γένοιτο μὲν οὖν οὕτω ταῦτα. Φαίνῃ δ' οὖν ἀμείνω τὸν σίδηρον ὁμολογῶν. ΚΡΟΙ. Οὐκοῦν καὶ τῷ Θεῷ κελεύεις σιδηρᾶς πλίνθους ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖθις ἀνακαλεῖν; ΣΟ. Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται. Ἀλλ' ἤν τε χαλκὸν, ἤν τε χρυσὸν ἀναθῇς, ἄλλοις μέν ποτε κτῆμα καὶ ἕρμαιον ἔσῃ ἀνατεθεικὼς Φωκεῦσιν, ἢ Βοιωτοῖς, ἢ Δελφοῖς αὐτοῖς, ἤ τινι τυράννῳ, ἢ λῃστῇ· τῷ δὲ Θεῷ ὀλίγον μέλει τῶν

σῶν

τῶν χρυσοποιῶν. ΚΡΟΙ. Ἀεὶ σύ με τῷ πλούτῳ προσπολεμεῖς καὶ φθονεῖς.

13. ΕΡ. Οὐ φέρει ὁ Λυδὸς, ὦ Χάρων, τὴν παῤῥησίαν, καὶ τὴν ἀλήθειαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα, πένης ἄνθρωπος οὐχ ὑποπτήσσων, τὸ δὲ παριστάμενον ἐλευθέρως λέγων. Μεμνήσεται δ' οὖν μικρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν αὐτὸν δέῃ ἁλόντα ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου ἀναχθῆναι. Ἤκουσα γὰρ τῆς Κλωθοῦς πρώην ἀναγινωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα· ἐν οἷς καὶ ταῦτ' ἐγέγραπτο, [6] Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκεινησὶ τῆς Μασσαγέτιδος ἀποθανεῖν. Ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τοῦ λευκοῦ ἐξελαύνουσαν; ΧΑ. Νὴ Δία. ΕΡ. Τώμυρις ἐκείνη ἐστί· καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη, ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. Ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν. Οὗτος βασιλεύσει μετὰ τὸν πατέρα· καὶ [7] μυρία σφαλεὶς ἔν τε Λιβύῃ καὶ Αἰθιο-

6 Κροῖσον μὲν, &c.] Vid. Just. lib. 1. et Herod. lib. 1.

7 Μυρία σφαλεὶς, &c.] Ad Ammonis templum expugnandum exercitum misit, qui in Libyâ desertâ arenis obrutus periit. Vid. Herod. lib. 3, quin et profectus ad quærendum Nili originem in id loci fame redactus fuit, ut comitum suorum aliquot in aliorum alimentum occiderit, non tamen voto potitus sit. Unde illud Lucani, lib. 10.

——— et pastus cæde suorum
Ignito te, Nile, redit.

πίᾳ, τὸ τελευταῖον [8] μανεὶς, ἀποθανεῖται, ἀποκτείνας τὸν Ἄπιν. ΧΑ. Ὢ πολλοῦ γέλωτος! Ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν οὕτως ὑπερφρονοῦντας τῶν ἄλλων! ἢ τίς ἂν πιστεύσειεν, ὡς μετ᾽ ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος!

14. Ἐκεῖνος δὲ τίς ἐστίν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα, ᾧ τὸν δακτύλιον ὁ μάγειρος ἀναδίδωσι, τὸν ἰχθῦν ἀνατεμὼν [9] Νήσῳ ἐν ἀμφιρύτῃ; βασιλεύς δέ τις εὔχεται εἶναι. ΕΡ. Εὖγε παρῳδεῖς, ὦ Χάρων. Ἀλλὰ [o] Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον, πανευδαίμονα οἰόμενον εἶναι· ἀτὰρ καὶ οὗτος αὐτὸς, ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιανδρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ, ἀνασκολοπισθήσεται, ἄθλιος ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ τοῦ χρόνου. [1] Καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα. ΧΑ. Εὖγε, ὦ Κλωθοῖ, γεννικῶς καὶ αὐτοὺς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε, καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. Ἐν τοσούτῳ δὲ ἐπαιρέσθων, ὡς ἂν ἀφ᾽ ὑψηλοτέρου ἀλγεινότερον κα-

8 Μανεὶς, &c.] Vid Herod. lib. 3.

9 Νήσῳ ἐν ἀμφιρύτῃ;] Vid. Hom. Od. ά. v. 40.

o Πολυκράτην, &c.] De hoc vid. Her lib. 3. Quæ autem de Mæandrio dominum suum prodente scribit, non leguntur apud Herodotum, sed ex alio Historico illa hausit. Apud Herod. sponte suâ proficiscitur Polycrates ad Orœtem. Grævius.

1 Καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα] Subaud. παρὰ vel ἀναγινωσκούσης.

ταπεινούμενοι

τεταπεισμένοι. Ἐγὼ δὲ γελάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ, μήτε πορφυρίδα, μήτε τιάραν, ἢ κλίνην χρυσῆν κομίζοντας.

15. ΕΡ. Καὶ τὰ μὲν τούτων ὧδε ἕξει. Τὴν δὲ πληθὺν, ὦ Χάρων, ὁρᾷς, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προσαιτοῦντας; ΧΑ. Ὁρῶ ποικίλην τινὰ τύρβην, καὶ μεστὸν ταραχῆς τὸν βίον, καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς σμήνεσιν· ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει, καὶ τὸν πλησίον κεντεῖ· ὀλίγοι δέ τινες, ὥσπερ σφῆκες, ἄγουσι καὶ φέρουσι [1] τὸν ὑποδεέστερον. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τἀφανοῦς οὗτος [2] ὄχλος, τίνες εἰσίν; ΕΡ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα, καὶ ἄνοιαι, καὶ ἡδοναὶ, καὶ φιλαργυρίαι, καὶ ὀργαὶ, καὶ μίση, καὶ τὰ τοιαῦτα· τούτων δὲ ἡ ἄγνοια μὲν κάτω ξυναναμέμικται αὐτοῖς, καὶ ξυμπολιτεύεταί γε, νὴ Δία, καὶ τὸ μῖσος, καὶ ἡ ὀργὴ, καὶ ζηλοτυπία, καὶ ἀμαθία, καὶ ἀπορία, καὶ φιλαργυρία· ὁ φόβος δὲ, καὶ ἐλπίδες, ὑπεράνω πετόμενοι, ὁ μὲν ἐμπίπτων ἐκπλήττει· ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ· αἱ δ' ἐλπίδες, ὑπὲρ κεφαλῆς αἰωρούμεναι, ὁπότ' ἂν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν, ἀναπτάμεναι οἴχονται, κεχηνό-

1 Ἀγὼ καὶ φέρω] Anglicè, *pillage and plunder*. Harwood.

2 Ὄχλος, τίνες εἰσίν;] Usitatissima est apud Græcos aut generis, aut numeri, imo utriusque Enallage, quam Grammaticorum alii Σύνθεσιν vocant, alii Σύνεσιν, quia ad sensum, non verba, respicitur.

τας αὐτὰ ἀπολιπᾶσαι, ὅπερ καὶ τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τᾶ ὕδατος.

16. [3] Ἦν δ' ἀτενίσῃς, κατόψει καὶ μοίρας ἄνω ἐπικλωθάσας ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' ἇ ἠρτῆσθαι ξυμβέβηκεν ἅπαντας ἐκ λεπτῶν νημάτων. Ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων; ΧΑ. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα ἐπιπεπλεγμένον γε τὰ πολλά· τᾶτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ. ΕΡ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται γὰρ ἐκείνῳ μὲν ὑπὸ τάτα φονευθῆναι· τάτῳ δὲ, ὑπ' ἄλλα· καὶ κληρονομῆσαί γε τᾶτον μὲν ἐκείνα, ὅτα ἂν ᾖ μικρότερον τὸ νῆμα· ἐκεῖνον δὲ αὖ τάτα· τοιόνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. Ὁρᾷς δ' ἂν ἀπὸ λεπτᾶ κρεμαμένας ἅπαντας; καὶ ἇτος μὲν ἀνασπασθεὶς ἄνω, μετέωρός ἐστι· καὶ μετὰ μικρὸν καταπεσὼν ἀπαῤῥαγέντος τᾶ λίνα, ἐπειδὰν μηκέτι ἀντέχῃ πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον ἐργάσεται· ἇτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωράμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ κείσεται, μόγις καὶ τοῖς γείτοσιν ἐξακασθέντος τᾶ πτώματος. ΧΑ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

17. ΕΡ. Καὶ μὴν ἀδ' εἰπεῖν ἔχοις ἂν κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων· καὶ μάλιστα αἱ ἄγαν σπαδαὶ αὐτῶν, καὶ τὸ μεταξὺ τῶν ἐλπίδων

[3] Ἦν δ' ἀτενίσῃς] Subaud. ὀφθαλμός.

οἴχεσθαι

οἴχεσθαι, ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου θανάτου· ἄγγελοι δὲ αὐτοῦ καὶ ὑπηρέται μάλα πολλοὶ, ὡς ὁρᾷς, ἠπίαλοι, καὶ πυρετοὶ, καὶ φθόαι, καὶ περιπνευμονίαι, καὶ ξίφη, καὶ λῃστήρια, καὶ κώνεια, καὶ δικασταὶ, καὶ τύραννοι. Καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται, ἔστ' ἂν εὖ πράττωσιν· ὅταν δὲ σφαλῶσι, πολὺ τὸ ὀττοτοῖ, καὶ αἶ, αἶ, καὶ ὤ μοί μοι. Εἰ δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν, ὅτι θνητοί τε εἰσὶν αὐτοὶ, καὶ, ὀλίγον τοῦτον χρόνον, ἐπιδημήσαντες τῷ βίῳ, ἄπίασιν, ὥσπερ ἐξ ὀνείρατος, πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον, καὶ ἧττον ἠνιῶντο ἀποθανόντες. Νῦν δὲ ἐς ἀεὶ ἐλπίσαντες χρῆσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης καλῇ, καὶ ἀπάγῃ, πεδήσας τῷ πυρετῷ, ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγὴν, οὔποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. Ἢ τί γὰρ οὐκ ἂν ποιήσειεν ἐκεῖνος, ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος, καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ· ὁ δὲ, ἄρτι ἐπιθεὶς τὸν ὄροφον, ἀπίοι, τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνήσας ἄθλιος ἐν αὐτῇ! ἐκεῖνος μὲν γὰρ ὁ χαίρων, ὅτι ἄῤῥενα παῖδα ἔτεκεν αὐτῷ ἡ γυνὴ, καὶ φίλους διὰ τοῦτο ἑστιῶν, καὶ τοὔνομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο ὡς ἑπταέτης γενόμενος ὁ παῖς τεθνήξεται, ἆρα ἄν σοι δοκῇ χαίρειν ἐπ' αὐτῷ γενομένῳ; ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ, τὸν τοῦ ἀθλητοῦ πατέρα, τοῦ Ὀλύμπια νενικηκότος· τὸν γείτονα δὲ τὸν ἐκκομί-

ζοντα

ζοντα τὸ παιδίον οὐχ ὁρᾷ, οὐδὲ οἶδεν ἀφ᾽ οἵας αὐτῷ κρόκης ἐκρέματο· τοὺς μὲν γὰρ περὶ τῶν ὅρων διαφερομένους ὁρᾷς, ὅσοι εἰσί, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα, πρὶν ἀπολαῦσαι αὐτῶν καλουμένους ὑφ᾽ ὧν εἶπον, ἐπιόντων ἀγγέλων τε καὶ ὑπηρετῶν.

18. ΧΑ. Ὁρῶ πάντα ταῦτα, καὶ πρὸς ἐμαυτὸν ἐγὼ ἐννοῶ, τί τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον, ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερούμενοι ἀγανακτοῦσιν. ΕΡ. Ἢν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵπερ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν ἔξω τοῦ ἀβεβαίου, καί, ὡς φής, ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προσόντα αὐτοῖς, φόβους, καὶ ταραχάς, καὶ μίση, καὶ ἐπιβουλάς, καὶ ὀργάς, καὶ κολακείας· τούτοις γὰρ ἅπαντες ξύνεισιν. Ἐῶ πένθη, καὶ νόσους, καὶ πάθη ἐξ ἰσοτιμίας δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου δὲ τὰ τούτων πονηρά, λογίζεσθαι καιρὸς οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη.

19. ΧΑ. Ἐθέλω γοῦν σοι, ὦ Ἑρμῆ, εἰπεῖν, ᾧτινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι, καὶ ὁ βίος ἅπας αὐτῶν. Ἤδη ποτὲ πομφόλυγας ἐν ὕδατι ἐθεάσω ὑπὸ κρουνῷ τινι καταρράπτοντι ἀνισταμένας, τὰς φυσαλλίδας λέγω, ἀφ᾽ ὧν ξυναγείρεται ὁ ἀφρός; ἐκείνων τοίνυν αἱ μέν, τινες μικραί εἰσι, καὶ αὐτίκα ἐκραγεῖσαι ἀπέσβησαν· αἱ δὲ ἐπὶ πλέον διαρκοῦσι, καὶ προσχωρουσῶν αὐταῖς τῶν ἄλλων, αὗται ὑπερφυσώμεναι, ἐς μέγιστον ὄγκον αἴρονται· εἶτα μέντοι κἀκεῖναι πάντως

ἐξερράγη.

ἐξεῤῥάγησάν ποτε· ȣ̓ γάρ οἷόν τε ἄλλως γενέσθαι· τȣ̃τό ἐστιν ὁ ἀνθρώπων βίος. Ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι, οἱ μὲν μείζȣς, οἱ δ' ἐλάττȣς· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχȣσι καὶ ὠκύμορον τὸ φύσημα· οἱ δὲ ἅμα τῷ ξυστῆναι ἐπαύσαντο. Πᾶσι δ' ȣ̃ν ἀποῤῥαγῆναι ἀναγκαῖον. ΕΡ. Οὐδὲν χεῖρον σὺ τȣ̃ Ὁμήρȣ εἴκασας, ὦ Χάρων, [4] ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.

20. ΧΑ. Καὶ τοιȣ̃τοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιȣ̃σι, καὶ ὡς φιλοτιμȣ̃νται πρὸς ἀλλήλȣς ἀρχῶν πέρι καὶ τιμῶν, καὶ κτήσεων ἁμιλλώμενοι· ἅπερ ἅπαντα καταλιπόντας αὐτȣ̀ς δεήσει, ἕνα ὀβολὸν ἔχοντας, ἥκειν παρ' ἡμᾶς. Βȣ́λει ȣ̃ν, ἐπείπερ ἐφ' ὑψηλȣ̃ ἐσμὲν, ἀναβοήσας παμμέγεθες παραινέσω αὐτοῖς ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων, ὦ μάταιοι, τί ἐσπȣδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες· ȣ̓ γὰρ ἐς ἀεὶ βιώσεσθε· ȣ̓δὲν τῶν ἐνταῦθα σεμνῶν ἀΐδιόν ἐστιν, ȣ̓δ' ἂν ἀπάγοι τις αὐτῶν τι ξὺν αὑτῷ ἀποθανών· ἀλλ' ἀνάγκη τὸν μὲν γυμνὸν οἴχεσθαι· τὴν οἰκίαν δὲ, καὶ τὸν ἀγρὸν, καὶ τὸ χρυσίον, ἀεὶ ἄλλων εἶναί, καὶ μεταβάλλειν τȣ̀ς δεσπότας. Εἰ ταῦτα καὶ τὰ τοιαῦτα [5] ἐξ ἐπηκόȣ ἐμβοήσαιμι αὐτοῖς, ȣ̓κ ἂν οἴει μέγα ὠφεληθῆναι τὸν βίον, καὶ σωφρονεστέρȣς ἂν γενέσθαι παραπολύ;

4 Ὃς φύλλοις] Vid. Il. ζ'. v. 146.
5 Ἐξ ἐπηκόȣ] Subauditur τόπȣ.

21. ΕΡ.

21. ΕΡ. Ὦ μακάριε, οὐκ οἶσθα ὅπως αὐτοὺς ἡ ἄγνοια καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ᾽ ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα; τοσούτῳ κηρῷ ἔβυσαν αὐτά· [6] οἷόν περ Ὀδυσσεὺς τοὺς ἑταίρους ἔδρασε, δέει τῆς Σειρήνων ἀκροάσεως· πόθεν οὖν ἂν ἐκεῖνοι δυνηθεῖεν ἀκοῦσαι, ἢν καὶ σὺ κεκραγὼς διαῤῥαγῇς; ὅπερ γὰρ παρ᾽ ὑμῖν ἡ Λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. Πλὴν ἀλλ᾽ εἰσὶν αὐτῶν ὀλίγοι, οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα, πρὸς τὴν ἀλήθειαν ἀποκλίναντες, ὀξὺ δεδορκότες ἐς τὰ πράγματα, καὶ κατεγνωκότες οἷά ἐστιν. ΧΑ. Οὐκοῦν ἐκείνοις γοῦν ἐμβοήσαιμι; ΕΡ. Περιττὸν τοῦτο λέγειν πρὸς αὐτοὺς, ἃ ἴσασιν. Ὁρᾷς ὅπως ἀποστάντες τῶν πολλῶν καταγελῶσι τῶν γιγνομένων, καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς, ἀλλὰ [7] δῆλοί εἰσι δρασμὸν ἤδη βουλεύοντες παρ᾽ ὑμᾶς ἀπὸ τοῦ βίου; καὶ γὰρ καὶ μισοῦνται, ἐλέγχοντες αὐτῶν τὰς ἀμαθίας. ΧΑ. Εὖγε, ὦ γεννάδαι· πλὴν πάνυ ὀλίγοι εἰσὶν, ὦ Ἑρμῆ. ΕΡ. Ἱκανοὶ καὶ οὗτοι. Ἀλλὰ κατίωμεν ἤδη.

6 Οἷόν περ Ὀδυσσεὺς, &c.] Vid. Hom. Od. μ'. 177.

7 Δῆλοί εἰσι βουλεύοντες] Δῆλος, φανερὸς, et alia ejusdem significationis cum particip. cujuslibet temporis eleganter conjunguntur; tumque resolvuntur aut per accusativ. et infinitivum, aut particulam ὡς vel ὅτι et indicativum; ita ut δῆλοί εἰσι βουλεύοντες idem sit ac δῆλόν ἐστιν αὐτοὺς βουλεύειν, vel δῆλον ὅτι αὐτοὶ βουλεύουσι. Vid. Vigerum.

22. ΧΑ.

22. ΧΑ. Ἓν ἔτι ἐπόθουν εἰδέναι, ὦ Ἑρμῆ, καί μοι δείξας αὐτὸ, ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιηκὼς, τὰς ἀποθήκας τῶν σωμάτων, ἵνα κατορύττουσι, θεάσασθαι. ΕΡ. Ἠρία, ὦ Χάρων, καὶ τύμβους, καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. Πλὴν τὰ πρὸ τῶν πόλεων ἐκεῖνα τὰ χώματα ὁρᾷς, καὶ τὰς στήλας, καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα, καὶ σωματοφυλάκιά ἐστι. ΧΑ. [8] Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους, καὶ χρίουσι μύρῳ; οἱ δὲ, καὶ [9] πυρὰν νήσαντες πρὸ τῶν χωμάτων, καὶ βόθρον τινὰ ὀρύξαντες, καίουσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα, καὶ εἰς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, [o] ὡς γοῦν εἰκάσαι, ἐγχέουσιν; ΕΡ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα πρὸς τοὺς ἐν ᾅδου. Πεπιστεύκασι δ' οὖν τὰς ψυχὰς ἀναπεμπομένας κάτωθεν, δειπνεῖν μὲν ὡς οἷόν τε περιπετομένας τὴν κνίσσαν, καὶ τὸν καπνὸν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρατον. ΧΑ. Ἐκείνους ἔτι πίνειν ἢ ἐσθίειν, ὧν τὰ κρανία ξηρότατα; καίτοι γελοῖός εἰμί σοι λέγων ταῦτα, ὁσημέραι κατάγοντι αὐτούς· οἶσθ' οὖν εἰ δύναιντ' ἂν ἔτι ἀνελθεῖν, ἅπαξ ὑποχθόνιοι γενόμενοι; Ἐπεί τοι καὶ παγγέλοια ἄν, ὦ Ἑρμῆ,

8 Τί οὖν ἐκεῖνοι, &c.] Moris fuit apud antiquos, ut non tantùm cadavera ungerent, sed etiam cippum, cui corollas et serta imponerent.

Serta novercali dederat fragrantia cippo. Cognatus.

9 Πυρὰν νήσαντες, &c.] De hisce ritibus vid. Potter Archæologiam Græcam. lib. 4. c. 6, 7.

o Ὡς γοῦν εἰκάσαι] Subaud. ξυμβαίνει vel ἐνδέχεται.

ἔπασχον, οὐκ ὀλίγα πράγματ' ἔχων, εἰ ἔδει μὴ κατάγειν μόνον αὐτοὺς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους. [1] Ὦ μάταιοι, τῆς ἀνοίας· οὐκ εἰδότες ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν καὶ τὰ ζώντων πράγματα, καὶ οἷα τὰ παρ' ἡμῖν ἐστι! καὶ ὅτι [2] Κάτθαν' ὁμῶς ὅ τ' ἄτυμβος ἀνὴρ, ὅς τ' ἔλλαχε τύμβου, Ἐν δ' ἰῇ τιμῇ Ἶρος, κρείων τ' Ἀγαμέμνων· Θερσίτῃ δ' ἶσος Θέτιδος παῖς ἠϋκόμοιο. Πάντες δ' εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα, Γυμνοί τε, ξυροί τε, κατ' ἀσφοδελὸν λειμῶνα.

23. ΕΡ. Ἡράκλεις, ὡς πολὺν τὸν Ὅμηρον ἐπαντλεῖς. Ἀλλ' ἐπείπερ ἀνέμνησάς γε, θέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τάφον. Ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; [3] Σίγειον μὲν ἐκεῖνο τὸ Τρωϊκὸν, ἀντικρὺ δὲ, ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ. ΧΑ. Οὐ μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. Τὰς πόλεις τὰς ἐπισήμους ἤδη δεῖξόν μοι, ἃς κάτω ἀκούομεν· τὴν Νῖνον τὴν Σαρδαναπάλου, καὶ Βαβυλῶνα, καὶ Μυκήνας, καὶ Κλεωνὰς, καὶ τὴν Ἴλιον αὐτήν. Πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς δέκα ὅλων ἐτῶν μηδὲ νεωλκῆσαι, μηδὲ διαψύξαι τὸ σκαφίδιον. ΕΡ. Ἡ Νῖνος μὲν, ὦ πορθμεῦ,

1 Ὦ μάταιοι, τῆς ἀνοίας] Subaud. ἕνεκα.

2 Κάτθαν' ὁμῶς] Hos sex versus Lucianus ex variis Homeri locis παρῳδούμενος contexit. Grævius.

3 Σίγειον, &c.] Sigeum et Rhœteum duo Trojæ promontoria, ubi horum sita sunt sepulchra. Vid. Strab. Georg. lib. 13.

ἀπόλω-

ἀπόλωλεν ἤδη, καὶ οὐδὲν ἴχνος ἔτι λοιπὸν αὐτῆς· οὐδ' ἂν εἴπῃς ὅπου ποτ' ἦν. Ἡ Βαβυλὼν δέ σοι ἐκείνη ἐστὶν, ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη, ὥσπερ ἡ Νῖνος. Μυκήνας δὲ, καὶ Κλεωνὰς, αἰσχύνομαι δεῖξαί σοι· καὶ μάλιστα τὸ Ἴλιον· ἀποπνίξεις γάρ εὖ οἶδ' ὅτι τὸν Ὅμηρον κατελθὼν ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. Πλὴν ἀλλὰ πάλαι μὲν ἦσαν εὐδαίμονες, νῦν δε τεθνήκασι καὶ αὐταί. Ἀποθνήσκουσι γὰρ, ὦ πορθμεῦ, καὶ πόλεις ὥσπερ ἄνθρωποι· καὶ τὸ παραδοξότερον, καὶ ποταμοὶ ὅλοι. [4] Ἰνάχου οὖν οὐδὲ τάφος ἐν Ἄργει ἔτι καταλείπεται. ΧΑ. Παπαὶ τῶν ἐπαίνων, Ὅμηρε, καὶ τῶν ὀνομάτων, Ἴλιον ἱρὴν, καὶ εὐρυάγυιαν, καὶ εὔκτίμεναι Κλεωναί!

24. Ἀλλὰ μεταξὺ λόγων, τίνες εἰσίν οἱ πολεμοῦντες ἐκεῖνοι, ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν; ΕΡ. Ἀργείους ὁρᾷς, ὦ Χάρων, καὶ Λακεδαιμονίους, καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον στρατηγὸν [5] Ὀθρυάδην, τὸν ἐπιγράφοντα

4 Ἰνάχου] Inachus Argivorum Rex in fluvio Inacho à se denominato sepultus est. Vid. Nat. Com. lib. 8.


5 Ὀθρυάδην] Argivis et Lacedæmoniis de agro Thyreatico altercantibus, Amphictyones pugnâ utrinque lectorum hominum rem decernendam censuerunt. Lacedæmonii suâ ex parte Othryadem summæ rei, Argivi Thersandrum præfecerunt. Prælio de Argivis duo superstites fuerunt, Agenor et Chromius, qui cum omnes Lacedæmonii mortui viderentur, de victoriâ civibus nuntium attulerunt. Factâ autem quiete, Othryades etiamnum vivens, fultusque hastilibus mortuorum scuta

 abstulit,

φονῆα τὸ τρόπαιον τῷ αὐτȣ͂ αἵμαῆι. ΧΑ. Ὑπὲρ τίνος δὲ αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος; ΕΡ. Ὑπὲρ τȣ͂ πεδίȣ αὐτȣ͂, ἐν ᾧ μάχονῆαι. ΧΑ. Ὦ τῆς ἀνοίας, οἵγε ȣ̓κ ἴσασιν ὅτι κἂν ὅλην τὸν Πελοπόννησον ἕκαςος αὐτῶν κτήσωνῆαι, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τȣ͂ Αἰακȣ͂! τὸ δὲ πεδίον τȣ͂το ἄλλοῆε ἄλλοι γεωργήσȣσι, πολλάκις ἐκ βάθρων τὸ τρόπαιον ἀνασπάσανῆες τῷ ἀρότρῳ. ΕΡ. Οὕτω μὲν ταῦτα ἔςαι. Ἡμεῖς δὲ, καῆαβάνῆες ἤδη, καὶ καῆὰ χώραν εὐθεῆήσανῆες αὖθις τὰ ὄρη, ἀπαλλαττώμεθα, ἐγὼ μὲν καθὰ ἐςάλην, σὺ δ' ἐπὶ τὸ πορθμεῖον. Ἥξω δέ σοι μετ' ὀλίγον καὶ αὐτὸς νεκροςολῶν. ΧΑ. Εὖγε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης ἀεὶ ἀναγεγράψῃ· ὠνάμην δέ τι διὰ σὲ τῆς ἀποδημίας. Οἷά ἐςι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγμαῆα, βασιλεῖς, πλίνθοι χρυσαῖ, ἑκατόμβαι, μάχαι· Χάρωνος δὲ ȣ̓δεὶς λόγος.

abstulit, tropæum erexit, suoque sanguine id *Jovi Tropæorum Tutori* inscripsit. Quo facto, Amphictyones causam Lacedæmoniis adjudicârunt.

DIALOG.



Dialog. XVIII.

ΠΕΡΙ ΤΟΥ ΕΝΥΠΝΙΟΥ, ΗΤΟΙ, ΒΙΟΣ ΛΟΥΚΙΑΝΟΥ.

ΑΡΤΙ μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν. Ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων, ὅ, τι καὶ διδάξαιτό με. Τοῖς πλείστοις οὖν ἔδοξε παιδεία μὲν, καὶ πόνου πολλοῦ, καὶ χρόνου μακροῦ, καὶ δαπάνης οὐ σμικρᾶς, καὶ τύχης δεῖσθαι λαμπρᾶς· τὰ δὲ ἡμέτερα, μικρά τε εἶναι, καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν ἀπαιτεῖν· εἰ δέ τινα τέχνην τῶν βαναύσων τούτων ἐκμάθοιμι, τὸ μὲν πρῶτον εὐθὺς ἂν αὐτὸς ἔχειν τὰ ἀρκοῦντα παρὰ τῆς τέχνης, καὶ μηκέτι οἰκόσιτος εἶναι, τηλικοῦτος ὤν· οὐκ εἰς μακρὰν δὲ καὶ τὸν πατέρα εὐφρανεῖν, ἀποφέρων ἀεὶ τὸ γιγνόμενον.

2. Δευτέρας οὖν σκέψεως ἀρχὴ προὐτέθη, τίς ἀρίστη τῶν τεχνῶν, καὶ ῥάστη ἐκμαθεῖν, καὶ ἀνδρὶ ἐλευθέρῳ πρέπουσα, καὶ πρόχειρον ἔχουσα τὴν χορηγίαν, καὶ διαρκῆ τὸν πόρον. Ἄλλου τοίνυν ἄλλην ἐπαινοῦντος, ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν, ὁ πατὴρ εἰς τὸν θεῖον ἀπιδὼν, (παρῆν γὰρ ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμα-

ἑρμογλύφος εἶναι δοκῶν, καὶ λιθοξόος ἐν τοῖς μάλιστα εὐδοκίμος) ἐ θέμις, εἶπεν, ἄλλην τέχνην ἐπικρατεῖν, σοῦ παρόντος. Ἀλλὰ τοῦτον ἄγε, δείξας ἐμὲ, καὶ δίδασκε παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι, καὶ συναρμοστὴν, καὶ ἑρμογλυφέα· δύναται γὰρ καὶ τοῦτο, 6 φύσεώς γε, ὡς οἶσθα, ἔχων δεξιῶς. Ἐτεκμαίρετο δὲ ταῖς ἐκ τοῦ κηροῦ παιδιαῖς· ὁπότε γὰρ ἀφεθείην ὑπὸ τῶν διδασκάλων, ἀποξέων ἂν τὸν κηρὸν, ἢ βόας, ἢ ἵππους, ἢ καὶ νὴ Δί' ἀνθρώπους ἀνέπλαττον, εἰκότως, ὡς ἐδόκουν τῷ πατρί· ἐφ' οἷς παρὰ μὲν τῶν διδασκάλων πληγὰς ἐλάμβανον. Τότε δὲ ἔπαινος εἰς τὴν εὐφυΐαν καὶ ταῦτα ἦν. Καὶ χρηστὰς εἶχον ἐπ' ἐμοὶ τὰς ἐλπίδας, ὡς ἐν βραχεῖ μαθήσομαι τὴν τέχνην, ἀπ' ἐκείνης γε τῆς πλαστικῆς.

3. Ἅμα τε οὖν ἐπιτήδειος ἐδόκει ἡμέρα τέχνης ἐνάρχεσθαι· κἀγὼ παρεδεδόμην τῷ θείῳ, μὰ τὸν Δί' οὐ σφόδρα τῷ πράγματι ἀχθόμενος· ἀλλά μοι καὶ παιδιάν τινα οὐκ ἀτερπῆ ἐδόκει ἔχειν, καὶ πρὸς τοὺς ἡλικιώτας ἐπίδειξιν, εἰ φαινοίμην θεούς τε γλύφων, καὶ ἀγαλμάτιά τινα μικρὰ κατασκευάζων ἐμαυτῷ τε, κἀκείνοις, οἷς προῃρούμην. Καὶ τότε πρῶτον ἐκεῖνο καὶ σύνηθες τοῖς ἀρχομένοις ἐγίγνετο. Ἐγκοπέα γάρ μοι δοὺς ὁ θεῖος, ἐκέλευσέ μοι ἠρέμα καθικέσθαι πλακὸς

6 Φύσεώς γε, ὡς οἶσθα, ἔχων δεξιῶς] Subauditur ἕνεκα. Ad verbum enim est, *dexterè se habens* (sive *affectus*) *quod ad ingenium attinet*, *i. e.* ingenio felici præditus.

ἐν μέσῳ κειμένης, ἐπειπὼν [7] τὸ κοινὸν, "Ἀρχὴ δέ τοι ἥμισυ παντός". Σκληρότερον δὲ καταγεγκόντος ὑπ' ἀπειρίας, κατεάγη μὲν ἡ πλάξ· ὁ δὲ ἀγανακτήσας, σκυτάλην τινὰ κειμένην πλησίον λαβὼν, ὁ πράως ὁδὲ προτρεπτικῶς μȣ κατήρξατο· ὥστε δάκρυά μοι τὰ προοίμια τῆς τέχνης.

4. Ἀποδρὰς ὧν ἐκεῖθεν, ἐπὶ τὴν οἰκίαν ἀφικνȣ̃μαι, συνεχὲς ἀνολολύζων, καὶ δακρύων τȣ̀ς ὀφθαλμȣ̀ς ὑπόπλεως, καὶ διηγȣ̃μαι τὴν σκυτάλην, καὶ τȣ̀ς μώλωπας ἐδείκνυον· καὶ κατηγόρȣν πολλήν τινα ὠμότητα, προσθεὶς ὅτι ὑπὸ φθόνȣ ταῦτα ἔδρασε, μὴ αὐτὸν ὑπερβάλωμαι κατὰ τὴν τέχνην. Ἀγανακτησαμένης δὲ τῆς μητρός, καὶ πολλὰ τῷ ἀδελφῷ λοιδορησαμένης, ἐπεὶ νὺξ ἐπῆλθε, κατέδαρθον ἔτι ἔνδακρυς, καὶ τὴν νύχθ' ὅλην ἐννοῶν.

5. Μέχρι μὲν δὴ τȣ́των γελάσιμα, καὶ μειρακιώδη τὰ εἰρημένα· τὰ μετὰ ταῦτα δὲ, ȣ̉κέτι εὐκαταφρόνητα, ὦ ἄνδρες, ἀκȣ́σεσθε, ἀλλὰ καὶ πάνυ φιληκόων ἀκροατῶν δεόμενα. Ἵνα γὰρ καθ' Ὅμηρον εἴπω, [8] "Θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος ἀμβροσίην διὰ νύκτα", ἐναργὴς ȣ̌τως, ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας. Ἔτι γȣ̃ν καὶ μετὰ τοσȣ̃τον χρόνον τά τε σχήματά μοι

7 Τὸ κοινὸν] Subaud. ῥῆμα.
8 Θεῖός μοι, &c.] Agamemnonis verba, lib. 2. Iliad. Bourd.

τῶν φανένlων ἐν τοῖς ὀφθαλμοῖς παραμένει, καὶ ἡ φωνὴ τῶν ἀκȣσθένlων ἔναυλος· ὅτω σαφῆ πάντα ἦν.

6. Δύο γυναῖκες λαϐόμεναι ταῖν χεροῖν, εἷλκόν με πρὸς ἑαυτὴν ἑκαlέρα μάλα βιαίως, καὶ καρlερῶς. Μικρȣ̃ γȣ̃ν με διεσπάσανlο πρὸς ἀλλήλας φιλοlιμȣ́μεναι. Καὶ γὰρ ἄρτι μὲν ἂν ἡ ἑτέρα ἐπεκράτει, καὶ παρὰ μικρὸν ὅλον εἶχέ με· ἄρlι δὲ ἂν αὖθις ὑπὸ τῆς ἑτέρας εἰχόμην. Ἐϐόων δὲ πρὸς ἀλλήλας ἑκαlέρα· ἡ μὲν, ὡς αὐτῆς ὄντα με κεκlῆσθαι βȣ́λοιlο· ἡ δὲ, ὡς μάτην τῶν ἀλλοτρίων ἀνlιποιοῖτο. Ἦν δὲ ἡ μὲν ἐργαlικὴ, καὶ ἀνδρικὴ, καὶ αὐχμηρὰ τὴν κόμην, τὼν χεῖρε τύλων ἀνάπλεως, διεζωσμένη τὴν ἐσθῆτα, τιτάνȣ καlαγέμȣσα, οἷος ἦν ὁ θεῖος ὁπότε ξέοι τȣ̀ς λίθȣς· ἡ ἑτέρα δὲ, μάλα εὐπρόσωπος, καὶ τὸ σχῆμα εὐπρεπὴς, καὶ κόσμιος τὴν ἀναϐολήν. Τέλος δ' ȣ̃ν, ἐφιᾶσί μοι δικάζειν ὁποlέρᾳ βȣλοίμην συνεῖναι αὐτῶν. Προlέρα δὲ ἡ σκληρὰ ἐκείνη, καὶ ἀνδρώδης ἔλεξεν.

7. Ἐγὼ, φίλε παῖ, Ἑρμογλυφικὴ Τεχνή εἰμὶ, ἣν χθὲς ἤρξω μανθάνειν, οἰκεία τέ σοι καὶ συγγενὴς οἴκοθεν. Ὅ τε γὰρ πάππος σȣ, εἰπȣ̃σα τȣ̃νομα τȣ̃ μηlροπάτορος, λιθοξόος ἦν, καὶ τὼ θείω ἀμφοlέρω, καὶ μάλα εὐδοκιμεῖτον δι' ἡμᾶς. Εἰ δὲ θέλοις λήρων μὲν καὶ φληνάφων τῶν παρὰ ταύτης ἀπέχεσθαι, δείξασα τὴν ἑτέραν, ἕπεσθαι δὲ καὶ συνοικεῖν ἐμοὶ, πρῶτα μὲν θρέψῃ γεννικῶς, καὶ τȣ̀ς ὤμȣς ἕξεις καρlερȣ̀ς, φθόνȣ δὲ

παντὸς

παντὸς ἀλλότριος ἔσῃ, καὶ ὕπολε ἄπει ἐπὶ τὴν [9] ἀλλοδαπὴν, τὴν πατρίδα καὶ τὰς οἰκείας καταλιπών. Οὐδ' ἐπὶ λόγοις ἐπαινέσονταί σε πάντες.

8. Μὴ μυσαχθῇς δὲ τοῦ σώματος τὸ εὐτελὲς, μηδὲ τῆς ἐσθῆτος τὸ πιναρόν· ἀπὸ γὰρ τῶν τοιούτων ὁρμώμενος, καὶ Φειδίας ἐκεῖνος ἔδειξε τὸν Δία, καὶ Πολύκλειτος τὴν Ἥραν εἰργάσατο, καὶ Μύρων ἐπῃνέθη, καὶ Πραξιτέλης ἐθαυμάσθη· προσκυνοῦνται γοῦν οὗτοι μετὰ τῶν θεῶν. Εἰ δὴ τούτων εἷς γένοιο, πῶς μὲν οὐ κλεινὸς αὐτὸς παρὰ πᾶσιν ἀνθρώποις γένοιο; ζηλωτὸν δὲ καὶ τὸν πατέρα ἀποδείξεις· περίβλεπτον δὲ ἀποφανεῖς καὶ τὴν πατρίδα. Ταῦτα καὶ ἔτι τούτων πλείονα, διαπταίουσα καὶ βαρβαρίζουσα πάμπολλα, εἶπεν ἡ Τέχνη, μάλα δὴ σπουδῇ συνείρουσα, καὶ πείθειν με πειρωμένη. Ἀλλ' οὐκέτι μέμνημαι· τὰ πλεῖστα γὰρ ἤδη μου τὴν μνήμην διέφυγεν. Ἐπεὶ δ' οὖν ἐπαύσατο, ἄρχεται ἡ ἑτέρα ὧδέ πως.

9. Ἐγὼ δὲ, ὦ τέκνον, Παιδεία εἰμὶ, ἤδη συνήθης σοι, καὶ γνωρίμη, εἰ καὶ μηδέπω εἰς τέλος μου πεπείρασαι. Ἡλίκα μὲν οὖν τὰ ἀγαθὰ πορίῃ λιθοξόος γενόμενος, αὐτὴ προείρηκεν. Οὐδὲν γὰρ ὅτι μὴ ἐργάτης ἔσῃ, τῷ σώματι πονῶν, κἀν τούτῳ τὴν ἅπασαν ἐλπίδα τοῦ βίου τεθειμένος, ἀφανὴς μὲν αὐτὸς ὢν,

[9] Ἀλλοδαπὴν] Subaud. γῆν.

ὀλίγα καὶ ἀγεννῆ λαμβάνων, ταπεινὸς τὴν γνώμην, εὐτελὴς δὲ τὴν πρόσοδον. Οὔτε φίλοις ἐπιδικάσιμος, οὔτε ἐχθροῖς φοβερὸς, οὔτε τοῖς πολίταις ζηλωτὸς· ἀλλ' αὐτὸ μόνον, ἐργάτης, καὶ τῶν ἐκ τοῦ πολλοῦ δήμου εἷς, ἀεὶ τὸν προὔχοντα ὑποπτήσσων, καὶ τὸν λέγειν δυνάμενον θεραπεύων, λαγὼ βίον ζῶν, καὶ τοῦ κρείττονος ἕρμαιον ὤν. Εἰ δὲ καὶ Φειδίας, ἢ Πολύκλειτος γένοιο, καὶ θαυμαστὰ πολλὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι δὲ ὅς τις τῶν ἰδόντων, εἰ νοῦν ἔχοι, εὔξαιτ' ἂν σοι ὅμοιος γενέσθαι· οἷος γὰρ ἂν ἦς, βάναυσος, καὶ χειρῶναξ, καὶ ἀποχειροβίωτος νομισθήσῃ.

10. Ἢν δέ μοι πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα, καὶ πράξεις θαυμαστὰς, καὶ λόγους αὐτῶν ἀπαγγέλλουσα, καὶ πάντων, ὡς εἰπεῖν, ἔμπειρον ἀποφαίνουσα. Καὶ τὴν ψυχὴν, ὅπερ σοι κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πρᾳότητι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ. Ταῦτα γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀληθῶς κόσμος. Λήσει δέ σε οὔτε παλαιὸν οὐδὲν, οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ δέοντα προόψει μετ' ἐμοῦ. Καὶ ὅλως ἅπαντα, ὁπόσα ἐστὶ τά τε θεῖα, τά τε ἀνθρώπινα, οὐκ εἰς μακρὰν σε διδάξομαι.

11. Καὶ

11. Καὶ ὁ νῦν πένης, ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενος τι περὶ ἀγεννοῦς οὕτω τέχνης, μετ᾽ ὀλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος, καὶ ἐπαινούμενος, καὶ ἐπὶ τοῖς ἀρίστοις εὐδοκιμῶν, καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος· ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος, (δείξασα τὴν ἑαυτῆς, πάνυ δὲ λαμπρὰν ἐφόρει) ἀρχῆς δὲ καὶ προεδρίας ἀξιούμενος. Κἄν που ἀποδημῇς, οὐδ᾽ ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνὼς, οὐδ᾽ ἀφανὴς ἔσῃ. Τοιαῦτά σοι περιθήσω τὰ γνωρίσματα, ὥστε τῶν ὁρώντων ἕκαστος, τὸ πλησίον κινήσας, δείξει σε τῷ δακτύλῳ, ΟΥΤΟΣ ΕΚΕΙΝΟΣ, λέγων.

12. Ἂν δέ τι σπουδῆς ἄξιον ᾖ, καὶ τοὺς φίλους ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἄν που τι λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ ἀκούσονται, θαυμάζοντες, καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως, καὶ τὸν πατέρα τῆς εὐποτμίας· ὃ δὲ λέγουσιν, ὡς ἄρα ἀθάνατοι γίγνονταί τινες ἐξ ἀνθρώπων, τοῦτό σοι περιποιήσω· καὶ γὰρ ἢν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔποτε παύσῃ σύνων τοῖς πεπαιδευμένοις, καὶ προσομιλῶν τοῖς ἀρίστοις. Ὁρᾷς [o] τὸν

o Τὸν Δημοσθένην] Demosthenes Demosthenis F. *quem cultellos venditâsse omnium pene doctorum literæ loquuntur.* Val. Max. lib. 3. Quin et Juv. de Demost.

Diis ille adversis genitus, fatoque sinistro,
Quem pater ardentis massæ fuligine lippus
A carbone, et forcipibus gladiosque parante
Incude, ac luteo Vulcano ad Rhetora misit.

Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα, ἐγὼ ἡλίκον ἐποίησα! ὁρᾷς [1] τὸν Αἰσχίνην, ὃς τυμπανιστρίας υἱὸς ἦν, ἀλλ' ὅμως αὐτὸν δι' ἐμὲ Φίλιππος ἐθεράπευσεν! ὁ δὲ [2] Σωκράτης καὶ αὐτὸς ὑπὸ τῇ Ἑρμογλυφικῇ ταύτῃ τραφεὶς, ἐπειδὴ τάχιστα συνῆκε τοῦ κρείττονος, καὶ δραπετεύσας παρ' αὐτῆς, ηὐτομόλησεν [3] ὡς ἐμὲ, ἀκούεις ὡς παρὰ πάντων ᾄδεται!

13. Ἀφεὶς δὲ αὐτοὺς τηλικούτους, καὶ τοιούτους ἄνδρας, καὶ πράξεις λαμπρὰς, καὶ λόγους σεμνοὺς, καὶ σχῆμα εὐπρεπὲς, καὶ τιμὴν, καὶ δόξαν, καὶ ἔπαινον, καὶ προεδρίας, καὶ δύναμιν, καὶ ἀρχὰς, καὶ τὸ ἐπὶ λόγοις εὐδοκιμεῖν, καὶ τὸ ἐπὶ συνέσει εὐδαιμονίζεσθαι, χιτώνιόν τε πιναρὸν ἐνδύσῃ, καὶ σχῆμα δουλοπρεπὲς ἀναλήψῃ καὶ μοχλία, καὶ γλυφεῖα, καὶ κοπέας, καὶ κολαπτῆρας ἐν ταῖν χεροῖν ἕξεις, κάτω νενευκὼς εἰς τὸ ἔργον, χαμαιπετὴς, καὶ χαμαίζηλος, καὶ πάντα τρόπον ταπεινός· ἀνακύπτων δὲ οὐδέποτε, οὐδὲ ἀνδρῶδες, οὐδὲ ἐλευθέριον οὐδὲν ἐπινοῶν, ἀλλὰ τὰ μὲν ἔργα ὅπως εὔρυθμα καὶ εὐσχήμονα ἔσται σοι, προνοῶν· ὅπως δὲ αὐτὸς εὔρυθμός τε καὶ κόσμιος ἔσῃ, ἥκιστα πεφροντικὼς, ἀλλ' ἀτιμότερον ποιῶν σεαυτὸν λίθων.

1 Τὸν Αἰσχίνην] Vid. Plin. Diog. Laert. Aut. vid. Æsch. Bourdel.

2 Σωκράτης] Socrates fuit Sophronisci lapidarii F. qui etiam lapides sculpsisse dicitur. Bourd.

3 Ὡς ἐμὲ] Pro εἰς vel πρὸς ἐμέ.

14. Ταῦτα

14. Ταῦτα ἔτι λεγέσης αὐτῆς, ἐ περιμείνας ἐγὼ τὸ τέλος τῶν λόγων, ἀνας ὰς ἀπεφηνάμην, καὶ τὴν ἄμορφον ἐκείνην καὶ ἐργαλικὴν ἀπολιπὼν, μετέβαινον πρὸς τὴν Παιδείαν μάλα γεγηθώς· καὶ μάλιςα ἐπεὶ μοι καὶ εἰς νῦν ἦλθεν ἡ σκυτάλη, καὶ ὅτι πληγὰς εὐθὺς ἐκ ὀλίγας ἀρχομένῳ μοι χθὲς ἐνετρίψατο. Ἡ δὲ ἀπολειφθεῖσα, τὸ μὲν πρῶτον ἠγανάκτει, καὶ τὼ χεῖρε συνεκρότει, καὶ τὲς ὀδόντας ἐνέπριε· τέλος δὲ, [4] ὥσπερ τὴν Νιόβην ἀκέομεν, ἐπεπήγει, καὶ εἰς λίθον μετεβέβλητο. Εἰ δὲ παράδοξα ἔπαθε, μὴ ἀπιςήσητε· θαυματοποιοὶ γὰρ οἱ ὄνειροι.

15. Ἡ ἑτέρα δὲ πρὸς με ἀπιδἕσα, τοιγαρἕν ἀμείψομαί σε, ἔφη, τῆσδε τῆς δικαιοσύνης, ὅτι καλῶς τὴν δίκην ἐδίκασας. Καὶ ἐλθὲ ἤδη, ἐπίβηθι τέτε τἕ ὀχήματος, (δείξασά τι ὄχημα ὑποπτέρων ἵππων τινῶν, [5] τῷ Πηγάσῳ ἐοικότων) ὅπως ἴδῃς οἷα καὶ ἡλίκα, μὴ ἀκολεθήσας ἐμοὶ ἀγνοήσειν ἔμελλες. Ἐπεὶ δὲ ἀνῆλθον, ἡ μὲν ἤλαυνε καὶ ὑφηνιόχει. Ἀρθεὶς δὲ εἰς ὕψος ἐγὼ ἐπεσκόπεν ἀπὸ τῆς ἕω ἀρξάμενος ἄχρι πρὸς ἑσπέραν, πόλεις, καὶ ἔθνη, καὶ δήμες, καθάπερ [6] ὁ

4 Ὥσπερ τὴν Νιόβην] Vid. Ov. Met. lib. 6. v. 305.
5 Πηγάσῳ ἐοικότων] Vid. Hom. Il. 9. Ov. 5. Cognatus.
6 Ὁ Τριπτόλεμος] Hic agriculturæ autor fuisse in Græciâ creditur. Vid. Nat. Com. lib. 5. et Ov. Fast. lib. 4.

Iste quidem mortalis erit, sed primus arabit,
Et seret, et cultâ præmia tollet humo.

Τρι-

Τριπτόλεμος, ἀποσπείρων τι ἐς τὴν γῆν. Οὐκέτι μέντοι μέμνημαι ὅ, τι τὸ σπειρόμενον ἐκεῖνο ἦν· πλὴν τοῦτο μόνον, ὅτι κάτωθεν ἀφορῶντες οἱ ἄνθρωποι ἐπῄνουν, καὶ μετ' εὐφημίας, καθ' οὓς γενοίμην τῇ πτήσει, παρέπεμπον.

16. Δείξασα δέ μοι τὰ τοσαῦτα, κἀμὲ τοῖς ἐπαινοῦσιν ἐκείνοις, ἐπανήγαγεν αὖθις, οὐκέτι τὴν αὐτὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα, ἣν εἶχον ἀφιπτάμενος· ἀλλ' ἐμοὶ ἐδόκουν εὐπάρυφός τις ἐπανήκειν. Καταλαβοῦσα οὖν καὶ τὸν πατέρα ἑστῶτα, καὶ περιμένοντα, ἐδείκνυεν αὐτῷ ἐκείνην τὴν ἐσθῆτα, κἀμὲ, οἷος ἥκοιμι. καί τι καὶ ὑπέμνησεν οἷα μικροῦ δεῖν περὶ ἐμοῦ ἐβουλεύσαντο. Ταῦτα μέμνημαι ἰδὼν, ἀντίπαις ἔτι ὢν, ἐμοὶ δοκεῖ, ἐκταραχθεὶς πρὸς τὸν τῶν πληγῶν φόβον.

17. Μεταξὺ δὲ λέγοντος, Ἡράκλεις, ἔφη τις, ὡς μακρὸν τὸ ἐνύπνιον, καὶ δικανικόν. Εἶτ' ἄλλος ὑπέκρουσε, χειμερινὸς ὄνειρος, ὅτε μήκισταί εἰσιν αἱ νύκτες· ἢ τάχα που [7] τριέσπερος, ὥσπερ ὁ Ἡρακλῆς καὶ αὐτός ἐστι. Τί δ' οὖν ἐπῆλθεν αὐτῷ ληρῆσαι ταῦτα πρὸς ἡμᾶς, καὶ μνησθῆναι παιδικῆς νυκτὸς, καὶ ὀνείρων παλαιῶν, καὶ ἤδη γεγηρακότων; ἕωλος γὰρ ἡ ψυχρολογία. Μὴ ὀνείρων τινῶν ἡμᾶς ὑποκριτάς τινας ὑπεί-

7 Τριέσπερος, &c.] Nota est fabula trinoctialis concubitus Jovis et Alcmenæ. Cognatus.

ληφεν;

λῆφεν; Οὐκ ὦ 'γαθέ· [8] Οὐδὲ γὰρ ὁ Ξενοφῶν ποτε διηγέμενος τὸ ἐνύπνιον, ὡς ἐδόκει αὐτῷ καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ, καὶ τὰ ἄλλα. Ἴςε γὰρ ἐκ ὑπόκρισιν τὴν ὄψιν, ἐδὲ ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξῄει· καὶ ταῦτα ἐν τῷ πολέμῳ, καὶ ἀπογνώσει πραγμάτων, περιεςώτων πολεμίων· ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διήγησις.

18. Καὶ τοίνυν κἀγὼ τῦτον ὄνειρον ὑμῖν διηγησάμην ἐκείνε ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται, καὶ παιδείας ἔχωνται· καὶ μάλιςα εἴ τις αὐτῶν ὑπὸ πενίας ἐθελοκακεῖ, καὶ πρὸς τὰ ἥττω ἀποκλίνει, φύσιν ἐκ ἀγεννῆ διαφθείρων. Ἐπιῤῥωσθήσεται εὖ οἶδ' ὅτι κἀκεῖνος ἀκέσας τῦ μύθε, ἱκανὸν ἑαυτῷ παράδειγμα ἐμὲ προςησάμενος, ἐννοῶν οἷος μὲν ὢν, πρὸς τὰ κάλλιςα ὥρμησα, καὶ παιδείας ἐπεθύμησα, μηδὲν ἀποδειλιάσας πρὸς τὴν πενίαν τὴν τότε· οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυθα, εἰ καὶ μηδὲν ἄλλο, ἐδενὸς γῦν τῶν λιθογλύφων ἀδοξότερος.

[8] Οὐδὲ γὰρ ὁ Ξενοφῶν] Videtur hoc somnium intelligere, quod est, lib. 3. Ἀναβάσ. Quo vidit Xenophon per quietem domum suam paternam fulmine collucere. Cognatus.

DIALOG.



Dialog. XIX.

ΤΙΜΩΝ, ἢ ΜΙΣΑΝΘΡΩΠΟΣ.

ΤΙΜΩΝ.

Ὦ Ζεῦ [9] φίλιε, καὶ ξένιε, καὶ [o] ἑταιρεῖε, καὶ ἐφέστιε, καὶ ἀστεροπητὰ, καὶ ὅρκιε, καὶ νεφεληγερέτα, καὶ ἐρίγδουπε, [1] καὶ εἴ τι σε ἄλλο οἱ ἐμβρόντητοι ποιηταὶ καλοῦσι, καὶ μάλιστα ὅταν ἀπορῶσι πρὸς τὰ μέτρα· τότε γὰρ αὐτοῖς πολυώνυμος γινόμενος, ὑπερείδεις [2] τὸ πίπτον τοῦ μέτρου, καὶ ἀναπληροῖς τὸ κεχηνὸς τοῦ ῥυθμοῦ· ποῦ σοι νῦν ἡ ἐρισμάραγος ἀστραπὴ, καὶ ἡ βαρύβρομος βροντὴ, καὶ ὁ αἰθαλόεις, καὶ ἀργήεις, καὶ σμερδαλέος κεραυνός; ἅπαντα γὰρ ταῦτα λῆρος ἤδη ἀναπέφηνε, καὶ καπνὸς ποιητικὸς ἀτεχνῶς, ἔξω τοῦ πατάγου τῶν

9 Φίλιε, καὶ ξένιε] Sic dictus Jupiter, quòd amicitiæ præses duceretur, et hospitum vindex, si quando hospitii jura violata fuerant.

Jupiter, hospitibus nam te dare jura loquuntur.
Virg. Æn. 4. Barlæus.

o Ἑταιρεῖε καὶ ἐφέστιε]—Quòd sodalitii præses, et procurator, dominus, assertorque eorum haberetur, qui ejusdem tecti, septi, vel laris sunt participes. Baflæus.

1 Καὶ εἴ τι σε ἄλλο ὄνομα] Pro εἴ σε κατά τι ἄλλο ὄνομα, &c.

2 Τὸ πίπτον] Subaud. μέρος.

ὀνομάτων.

ὀνομάτων. Τὸ δὲ ἀοίδιμόν σου καὶ ἑκηβόλον ὅπλον, καὶ πρόχειρον, οὐκ οἶδ᾽ ὅπως τελέως ἀπέσβη, καὶ ψυχρόν ἐστι, μηδὲ ὀλίγον σπινθῆρα ὀργῆς κατὰ τῶν ἀδικούντων διαφυλάττον.

2. Θᾶττον γοῦν τῶν ἐπιορκεῖν τις ἐπιχειρούντων ἕωλον θρυαλλίδα φοβηθείη ἂν, ἢ τὴν τοῦ πανδαμάτορος κεραυνοῦ φλόγα· οὕτω δαλόν τινα ἐπανατείνασθαι δοκεῖς αὐτοῖς, ὡς πῦρ μὲν, ἢ καπνὸν ἀπ᾽ αὐτοῦ μὴ δεδιέναι· μόνον δὲ τοῦτο οἴεσθαι ἀπολαύειν τοῦ τραύματος, ὅτι ἀναπλησθήσονται τῆς ἀσβόλου. Ὥστε ἤδη διὰ ταῦτά σοι καὶ ὁ [3] Σαλμωνεὺς ἀντιβροντᾶν ἐτόλμα, οὐ πάνυ τι ἀπίθανος ὢν, πρὸς οὕτω ψυχρὸν τὴν ὀργὴν Δία, θερμουργὸς ἀνὴρ, καὶ μεγαλαυχούμενος. Πῶς γὰρ ὅπου γε καθάπερ ὑπὸ μανδραγόρᾳ καθεύδεις; ὃς οὔτε τῶν ἐπιορκούντων ἀκούεις, οὔτε τοὺς ἀδικοῦντας ἐπισκοπεῖς· λημᾷς δὲ, καὶ ἀμβλυώττεις πρὸς τὰ γιγνόμενα, καὶ τὰ ὦτα ἐκκεκώφωσαι, καθάπερ οἱ παρηβηκότες·

3. Ἐπεὶ νέος γε ἔτι καὶ ὀξύθυμος ὢν, καὶ ἀκμαῖος τὴν ὀργὴν, πολλὰ κατὰ τῶν ἀδίκων, καὶ βιαίων ἐποίεις, καὶ οὐδέποτε ἦγες τότε πρὸς αὐτοὺς ἐκεχειρίαν, ἀλλ᾽ ἀεὶ ἐνεργὸς πάντως ὁ κεραυνὸς ἦν, καὶ ἡ αἰγὶς ἐπεσείετο, καὶ ἡ βροντὴ ἐπαταγεῖτο, καὶ ἡ ἀστραπὴ συνεχὲς, ὥσπερ εἰς ἀκροβολισμὸν, προηκοντίζετο. Οἱ

3 Σαλμωνεὺς] Æoli F. de quo Virg. Æn. 6. Cognatur.

σεισμοὶ δὲ κοσκινηδὸν, καὶ ἡ χιὼν σωρηδὸν, καὶ ἡ χάλαζα πετρηδόν. Καὶ ἵνα σοι φορτικῶς διαλέγωμαι, ὑετοί τε ῥαγδαῖοι, καὶ βίαιοι, ποταμὸς ἑκάστη σταγών· ὥστε τηλικαύτη [4] ἐν ἀκαρεῖ χρόνου [5] ναυαγία ἐπὶ τοῦ Δευκαλίωνος ἐγένετο, ὡς ὑποβρυχίων ἁπάντων καταδεδυκότων, μόγις ἕν τι κιβώτιον περισωθῆναι, προσοκεῖλαν [6] τῷ Λυκωρεῖ, ζώπυρόν τι τοῦ ἀνθρωπίνου σπέρματος διαφυλάττον εἰς ἐπιγονὴν κακίας μείζονος.

4. Τοιγάρ τοι ἀκόλουθα τῆς ῥαθυμίας τἀπίχειρα κομίζῃ παρ' αὐτῶν, οὔτε θύοντος ἔτι σοί τινος, οὔτε στεφανοῦντος, εἰ μή τις ἄρα πάρεργον Ὀλυμπίων· καὶ οὗτος, οὐ πάνυ ἀναγκαῖα ποιεῖν δοκῶν, ἀλλ' εἰς ἔθος

4 Ἐν ἀκαρεῖ χρόνου] Subaud. μορίῳ.

5 Ναυαγία] Locus apprimè notandus; convenit enim cum historiâ sacrâ, nisi quòd, ut ait Comicus, malè divisa sunt temporibus hæc. Quæ enim de Noacho scripta à principe Historicorum Mose fuerant, ad Deucalionem suum transtulêrunt Græci. Tan. Faber.

6 Τῷ Λυκωρεῖ] Mons sive locus ad quem appulit scapha, scribit Pausanias in Phocicis Lycorem urbem conditam in Parnassi summitate ab iis, qui in Deucalionis alluvione luporum ululatibus (τῶν λύκων ὠρυγαῖς) servati sunt, ut eo nomine vel ipse Parnassus vel pars ejus intelligatur. Nàm et Ovid. Parnassum fuisse ait montem Phocidis, in quem ab undis tutum Deucalion et Pyrrha se receperant. Verùm ex narratione Mosaicâ mons, in quo resedit arca, unus fuisse dicitur montium Ararati, *i. e.* majoris Armeniæ. Barlæus.

τι ἀρ-

τι ἀρχαῖον συνῆελῶν. Καὶ κατ' ὀλίγον [7] Κρόνον σε, ὦ Θεῶν γενναιότατε, ἀποφαίνȣσι, παρωσάμενοι τῆς τιμῆς. Ἐῶ λέγειν ὁποσάκις ἤδη σȣ τὸν νεὼν σεσυλήκασιν· οἱ δὲ καὶ [8] αὐτῷ σοι τὰς χεῖρας Ὀλυμπιάσιν ἐπιϐεϐλήκασι. Καὶ σὺ ὁ ὑψιϐρεμέτης ὤκνησας ἢ ἀναςῆσαι τȣ̀ς κύνας, ἢ τȣ̀ς γείτονας ἐπικαλέσασθαι, ὡς βοηδρομήσαντες αὐτȣ̀ς συλλάϐοιεν, ἔτι συσκευαζομένȣς πρὸς τὴν φυγήν. Ἀλλ' ὁ γενναῖος, καὶ Γιγαντολέτωρ, καὶ Τιτανοκράτωρ, ἐκάθησο, τȣ̀ς πλοκάμȣς περικειρόμενος ὑπ' αὐτῶν, δεκάπηχυν κεραυνὸν ἔχων ἐν τῇ δεξιᾷ. Ταῦτα τοίνυν, [9] ὦ θαυμάσιε, πηνίκα παύσεται, ȣ̔́τως ἀμελῶς παρορώμενα; ἢ πότε κολάσεις τὴν τοσαύτην ἀδικίαν; πόσοι Φαέθοντες ἢ Δευκαλίωνες, ἱκανοὶ πρὸς ȣ̔́τως ὑπέραντλον ὕϐριν τȣ̃ βίȣ;

5. Ἵνα γὰρ τὰ κοινὰ ἐάσας τἀμὰ εἴπω, τοσȣ́τȣς Ἀθηναίων εἰς ὕψος ἄρας, καὶ πλȣσίȣς ἐκ πενεςάτων ἀποφήνας, καὶ πᾶσι τοῖς δεομένοις ἐπικȣρήσας, μᾶλλον

7 Κρόνον σε ἀποφαίνȣσι] Imperio abdicant, quod Saturno fecit Jupiter.——tacitè Jovem perduellionis accusat. Barl.

8 Αὐτῷ σοι τας χεῖρας, &c.] Legitur de Dionysio Siciliæ tyranno, ut alios mittam, quòd Jovi Olympio detraxerit magni ponderis aureum amiculum, quo eum Hieron è manubiis Carthaginiensium ornaverat; proque detracto aureo laneum illi pallium injecerit, cavillans; *aureum amiculum æstate grave est, hyeme frigidum; laneum ad utrumque anni tempus accommodatius.* Barlæus.

9 Ὦ θαυμάσιε] Ubi supra ὦ γενναιότατε per illusionem. Barl.

δὲ ἀθρόον ἐς εὐεργεσίαν τῶν φίλων ἐκχέας τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγενόμην, οὐκ ἔτι οὐδὲ γνωρίζομαι πρὸς αὐτῶν, οὔτε προσβλέπουσιν οἱ τέως ὑποπτήσσοντες, καὶ προσκυνοῦντες, κἀκ τοῦ ἐμοῦ νεύματος ἀνηρτημένοι. Ἀλλ' ἤν που καὶ ὁδῷ βαδίζων ἐντύχοιμί τινι αὐτῶν, ὥσπερ τινὰ στήλην παλαιοῦ νεκροῦ ὑπτίαν, ὑπὸ τοῦ χρόνου ἀνατετραμμένην παρέρχονται, º μηδὲ ἀναγνόντες. Οἱ δὲ καὶ πορρώθεν ἰδόντες ἑτέραν ἐκτρέπονται, δυσάντητον καὶ ἀποτρόπαιον θέαμα ὄψεσθαι ὑπολαμβάνοντες, τὸν οὐ πρὸ πολλοῦ σωτῆρα καὶ εὐεργέτην αὐτῶν γεγενημένον.

6. Ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ [1] ταύτην τὴν ἐσχατιὰν τραπόμενος, ἐναψάμενος διφθέραν, ἐργάζομαι τὴν γῆν, ὑπόμισθος ὀβολῶν τεσσάρων, τῇ ἐρημίᾳ καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν ἐνταῦθα. Τοῦτο γοῦν μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας. [2] Ἀνιαρότερον γὰρ τοῦτό γε. Ἤδη ποτὲ οὖν, ὦ Κρόνου καὶ Ῥέας υἱὲ, τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος καὶ νήδυμον, (ὑπὲρ τὸν [3] Ἐπιμενίδην

o Μηδὲ ἀναγνόντες] Subaud. ἐπιγραφήν.

1 Ταύτην τὴν ἐσχατιὰν] Cave sis idem cum illo sentias, qui vertit *ad extrema redactus consilia*. Ἐσχατιὰ enim hoc in loco nihil aliud est, quàm solitudo, secessus, pars ruris remotior. Tan. Fab.

2 Ἀνιαρότερον] Subaud. ἢ τὴν γῆν ἐργάζεσθαι, &c.

3 Ἐπιμενίδην] De Epimenide Cretensi Theologo extat Historia in noctibus Gellianis, et apud Diog. Laert. qui eum 47 annos obdormisse dicit. Plin. 57. lib. 7. cap. 53. Barl.

γὰρ

γὰρ κεκοίμησαι) καὶ ἀναῤῥιπίσας τὸν κεραυνὸν, ἢ ἐκ τῆς Αἴτνης ἐναυσάμενος, μεγάλην ποιήσας τὴν φλόγα, ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διὸς, εἰ μὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν περὶ σοῦ, καὶ τῆς σῆς ταφῆς μυθολογούμενα.

7. Ζ. Τίς οὗτός ἐστιν, ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς Ἀττικῆς παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ; πιναρὸς ὅλος, καὶ αὐχμῶν, καὶ ὑποδίφθερος· σκάπτει δὲ οἶμαι ἐπικεκυφώς· λάλος ἄνθρωπος, καὶ θρασύς. Ἦπου [4] φιλόσοφός ἐστιν. Οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν. ΕΡ. Τί φῂς, ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου, τὸν [5] Κολυττέα; οὗτός ἐστιν ὁ πολλάκις ἡμᾶς καθ' [6] ἱερῶν τελείων ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας [7] ἑκατόμβας, παρ' ᾧ λαμπρῶς εἰώθαμεν ἑορτάζειν τὰ Διάσια. Ζ. [8] Φεῦ τῆς ἀλλαγῆς! Ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ το-

4 Φιλόσοφός ἐστιν] Id genus hominum quâvis oblatâ occasione Lucianus insectatur. Barl.

5 Τὸν Κολυττέα] Colyttensem vocat à pago. Hesyc. Κολυττὸς ὄνομα δήμου. Barlæus—item Harpocrat. δῆμός ἐστι τῆς Αἰγηΐδος φυλῆς Κολυττός.

6 Ἱερῶν τελείων] i. e. ὁλοκλήρων. Λελωβημένον γὰρ οὐ θύεται. Vid. Hom. Il. ά 66. ibique vet. Scholiast. Vid. et Natal. Com. l. 1. c. x.

7 Ἑκατόμβας] Subaud. παραστήσας.

8 Φεῦ τῆς ἀλλαγῆς] Post Interjectiones sequente Genitivo subauditur ἕνεκα.

σοῦτοι

ποῦτοι φίλοι; τί παθὼν οὖν τοιοῦτός ἐστιν; αὐχμηρὸς, ἄθλιος, καὶ σκαπανεὺς, καὶ μισθωτὸς, ὡς ἔοικεν, οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν.

8. ΕΡ. [9] Οὑτωσὶ μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν, καὶ φιλανθρωπία, καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος· ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια, καὶ εὐήθεια, καὶ ἀκρισία περὶ τοὺς φίλους· ὃς οὐ συνίει κόραξι καὶ λύκοις χαριζόμενος· ἀλλ' ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων κειρόμενος τὸ ἧπαρ, φίλους εἶναι αὐτοὺς καὶ ἑταίρους ᾤετο ὑπ' εὐνοίας τῆς πρὸς αὐτὸν, χαίροντας τῇ βορᾷ. Οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες ἀκριβῶς, καὶ περιτραγόντες, εἴ τις καὶ μυελὸς ἐνῆν, ἐκμυζήσαντες καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς, ᾤχοντο, αὖον αὐτὸν καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωρίζοντες ἔτι, οὐδὲ προσβλέποντες (πόθεν γάρ;) ἢ ἐπικουροῦντες, ἢ ἐπιδιδόντες ἐν τῷ μέρει. Διὰ ταῦτα δικελλίτης, καὶ διφθερίας, ὡς ὁρᾷς, ἀπολιπὼν ὑπ' αἰσχύνης τὸ ἄστυ, μισθοῦ γεωργεῖ μελαγχολῶν τοῖς κακοῖς· ὅτι οἱ πλουτοῦντες παρ' αὐτοῦ, μάλα ὑπεροπτικῶς παρέρχονται, οὐδὲ τοὔνομα εἰ Τίμων καλοῖτο εἰδότες.

9. Ζ. Καὶ μὴν οὐ παροπτέος ἀνὴρ, οὐδὲ ἀμελητέος· εἰκότα γὰρ ἠγανάκτει δυστυχῶν· ἐπεὶ καὶ ὅμοια ποιή-

9 Οὑτωσὶ μὲν εἰπεῖν] Subaud. ὡς, et post ἀληθεῖ λόγῳ supple χρῆσθαι.

σομεν

σομὲν τοῖς καταράτοις κόλαξιν ἐκείνοις, ἐπιλελησμένοι ἀνδρὸς, τοσαῦτα μηρία ταύρων τε καὶ αἰγῶν πιότατα καύσαντος ἡμῖν ἐπὶ τῶν βωμῶν· ἔτι γοῦν ἐν ταῖς ῥισὶ τὴν κνίσσαν αὐτῶν ἔχω. Πλὴν ὑπ' ἀσχολίας τε, καὶ θορύβου πολλοῦ τῶν ἐπιορκούντων, καὶ βιαζομένων, καὶ ἁρπαζόντων, ἔτι δὲ καὶ φόβου τοῦ παρὰ τῶν ἱεροσυλούντων, (πολλοὶ γὰρ οὗτοι, καὶ δυσφύλακτοι, καὶ οὐδὲ ἐπ' ὀλίγον καταμῦσαι ἡμῖν ἐφιᾶσι) πολὺν ἤδη χρόνον οὐδ' ἀπέβλεψα εἰς τὴν Ἀττικήν· καὶ μάλιστα ἐξ οὗ φιλοσοφία, καὶ λόγων ἔριδες ἐπεπόλασαν αὐτοῖς. Μαχομένων γὰρ πρὸς ἀλλήλους, καὶ κεκραγότων, οὐδὲ ἐπακούειν ἐστὶ τῶν εὐχῶν. Ὥστε ἢ ἐπιβυσάμενον χρὴ τὰ ὦτα καθῆσθαι, ἢ ἐπιτριβῆναι πρὸς αὐτῶν, ἀρετήν τινα, καὶ ἀσώματα, καὶ λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων· διὰ ταῦτα τοι καὶ τοῦτον ἀμεληθῆναι συνέβη, πρὸς ἡμᾶς οὐ φαῦλον ὄντα.

10. Ὅμως δὲ τὸν Πλοῦτον, ὦ Ἑρμῆ, παραλαβὼν, ἄπιθι παρ' αὐτὸν κατὰ τάχος· ἀγέτω δὲ ὁ Πλοῦτος καὶ τὸν Θησαυρὸν μετ' αὐτοῦ, καὶ μενέτωσαν ἄμφω παρὰ τῷ Τίμωνι, μηδὲ ἀπαλλαττέσθωσαν οὕτω ῥᾳδίως, κἂν ὅτι μάλιστα ὑπὸ χρηστότητος αὖθις ἐκδιώκῃ αὐτοὺς τῆς οἰκίας. Περὶ δὲ τῶν κολάκων ἐκείνων, καὶ τῆς ἀχαριστίας, ἣν ἐπεδείξαντο πρὸς αὐτὸν, καὶ αὖθις μὲν σκέψομαι, καὶ δίκην δώσουσιν, ἐπειδὰν τὸν κεραυνὸν ἐπισκευάσω. Κατεαγμέναι γὰρ αὐτοῦ καὶ ἀπεστομωμέναι εἰσὶ δύο ἀκτῖνες αἱ μέγισται, ὁπότε φιλοτιμότερον

τερον ἠκόνησα πρώην ἐπὶ τὸν σοφιστὴν [o] Ἀναξαγόραν, ὃς ἔπειθε τοὺς ὁμιλητὰς [1] μηδὲ ὅλως εἶναί τινας ἡμᾶς τοὺς Θεούς. Ἀλλ' ἐκείνου μὲν διήμαρτον. [2] Ὑπερέσχε γὰρ αὐτοῦ τὴν χεῖρα Περικλῆς· ὁ δὲ κεραυνὸς, εἰς τὸ [3] Ἀνάκειον παρασκήψας, ἐκεῖνό τε κατέφλεξε, καὶ

o Ἀναξαγόραν] Fuit Anaxagoras Philosophus Clazomenius insignis, qui Xerxis Persarum regis tempore floruit. Mundi hoc atque Naturæ opificium ab æternâ Mente conditum et ordinatum esse docuit. Cujus hic extat versus omni memoriâ dignus,

Νοῦς ἐστι διακοσμῶν τὸ τῶν πάντων αἴτιον.

Mens æterna est, quæ gubernans omnia, omnium est causa.

Laert. lib. 2. Quæ laudabilis de Deo Uno veritatis professio, ut Socrati, sic et illi noxia fuit. Nam ea doctrina tantam ipsi invidiam conflavit apud Athenienses, ut ex eâ ansam raperent ipsum ἀθεότητος accusandi, et talentum promitterent, quisquis interficeret. Etenim hanc esse causam ipse Jupiter indicat, cùm sophistam eum vocat, ideoque in illum se fulmen torsisse dicit, quòd suis familiaribus et discipulis persuaderet, nullo pacto esse Deos, quos pro talibus haberent Athenienses. Barlæus.

1 Μηδὲ ὅλως εἶναί τινας] *Neque alicujus pretii esse nos.* Nam τὶς aliquando ποιότητα denotat singulare ad differentiam τῶν τυχόντων. Sic Juv.

Aude aliquid brevibus gyaris et carcere dignum,
Si vis esse aliquis———

vel *nullos,* inquit, *i. e.* nullâ divinitate præditos. Barl.

2 Ὑπέρεσχε, *&c.*] Interpretandum est hoc de Judicio; nam impietatis accusatus Anaxagoras à Pericle discipulo suo defensus est. Barlæus.

3 Ἀνάκειον] Vid. Maussaci annotationem ad hanc vocem in Harpocratione.

αὐτὸς

αὐτὸς ὀλίγε δεῖν συνέτριβη περὶ τῇ πέτρᾳ. Πλὴν ἱκανὴ ἐν τοσέτῳ καὶ αὕτη τιμωρία ἔςαι αὐτοῖς, εἰ ὑπερπλετᾶντα τὸν Τίμωνα ὁρῶσιν.

11. ΕΡ. Οἷον ἦν τὸ μέγα κεκραγέναι, καὶ ὀχληρὸν εἶναι, καὶ θρασύν! ἐ τοῖς δικαιολογᾶσι μόνοις, ἀλλὰ καὶ τοῖς εὐχομένοις τᾶτο χρήσιμον· ἰδὲ γὰρ αὐτίκα μάλα πλέσιος ἐκ πενεςάτε καταςήσεται ὁ Τίμων, βοήσας, καὶ παῤῥησιασάμενος ἐν τῇ εὐχῇ, καὶ ἐπιςρέψας τὸν Δία· εἰ δὲ σιωπῇ ἔσκαπτεν ἐπικεκυφὼς, ἔτι ἂν ἔσκαπτεν ἀμελέμενος. ΠΛΟΥ. Ἀλλ᾽ ἐγὼ ἐκ ἂν ἀπέλθοιμι, ὦ Ζεῦ, παρ᾽ αὐτόν. Ζ. Διὰ τί, ὦ ἄριςε Πλᾶτε, καὶ ταῦτα, ἐμᾶ κελεύσαντος;

12. ΠΛΟΥ. Ὅτι νὴ Δία ὕβριζεν εἰς ἐμὲ, καὶ ἐξεφόρει, καὶ εἰς πολλὰ κατεμέριζε, καὶ ταῦτα, πατρῷον αὐτῷ φίλον ὄντα· καὶ μόνον ἐχὶ δικράνοις με ἐξεώθει τῆς οἰκίας, καθάπερ οἱ τὸ πῦρ ἐκ τῶν χειρῶν ἀποῤῥιπτᾶντες. Αὖθις ἐν ἀπέλθω παρασίτοις, καὶ κόλαξι, καὶ ἑταίραις παραδοθησόμενος; ἐπ᾽ ἐκείνες, ὦ Ζεῦ, πέμπε με, τὲς αἰσθησομένες τῆς δωρεᾶς, τὲς περιέψοντας, οἷς τίμιος ἐγὼ, καὶ περιπόθητος· Οὗτοι δὲ οἱ λάροι τῇ πενίᾳ ξυνέςωσαν, ἣν προτιμῶσιν ἡμῶν· καὶ διφθέραν παρ᾽ αὐτῆς λαβόντες, καὶ δίκελλαν, ἀγαπάτωσαν ἄθλιοι, τέτταρας ὀβολὲς ἀποφέροντες, οἱ δεκαταλάντες δωρεὰς ἀμελητὶ προϊέμενοι.

† Οἷον ἦν] Pro οἷόν ἐςι

13. Ζ. Οὐδὲν ἔτι τοιῦτον ὁ Τίμων ἐργάσεἶαι περὶ σέ· πάνυ γὰρ αὐτὸν ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ πανἶάπασιν ἀνάλγητός ἐςι τὴν ὀσφὺν, ὡς χρῆν σε ἀντὶ τῆς πενίας προαιρεῖσθαι. Σὺ μένἶοι πάνυ μεμψίμοιρος εἶναί μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ, διότι σοι τὰς θύρας ἀναπεἶάσας, ἠφίει περινοςεῖν ἐλευθέρως, ὔτε ἀποκλείων, ὔτε ζηλοἶυπῶν. [5] Ἄλλοἶε δὲ τὐναντίον ἠγανάκτεις κατὰ τῶν πλυσίων, καἶακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς, καὶ κλεισὶ, καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ παρακύψαι σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. Ταῦτα γῦν ἀπωδύρυ πρός με, ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ· καὶ διὰ τῦτο ὠχρὸς ἡμῖν ἐφαίνυ, καὶ φροντίδος ἀνάπλεως, συνεσπακὼς τὺς δακἶύλυς πρὸς τὸ ἔθος τῶν συλλογισμῶν, καὶ ἀποδράσασθαι ἀπειλῶν, εἰ καιρῦ λάβοιο, παρ' αὐτῶν. Καὶ ὅλως, τὸ πρᾶγμα ὑπέρδεινοι ἐδόκει σοι, ἐν χαλκῷ, ἢ σιδηρῷ, καθάπερ τὴν Δανάην, παρθενεύεσθαι, ὑπ' ἀκριβέσι καὶ παμπονήροις παιδαγωγοῖς ἀναἶρεφόμενον, τῷ Τόκῳ, καὶ τῷ Λογισμῷ.

14. Ἄτοπα γῦν ποιεῖν ἔφασκες αὐτὺς ἐρῶντας μὲν εἰς ὑπερβολὴν, ἐξὸν δὲ ἀπολαύειν, ὐ τολμῶντας, ὐδὲ ἐπ' ἀδείας χρωμένυς τῷ ἔρωτι, κυρίυς γε ὄντας,

[5] Ἄλλοἶε δὲ, &c.] Respicit locum qui in Aristophanis Pluto est, quem hunc transferre non vacat, ut nec alia μυρία ὅσα. Nam ex Aristophanis Pluto hæc magnam bonamque partem educta sunt. Tan. Faber.

ἀλλὰ

ἀλλὰ φυλάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους, οὐ τὸ αὐτοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μεταδιδόναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ κύνα, μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν, μήτε τῷ ἵππῳ πεινῶντι ἐπιτρέπουσαν. Καὶ προσέτι γε καὶ καταγέλας αὐτῶν φειδομένων, καὶ φυλαττόντων, καὶ τὸ καινότατον, αὐτοὺς ζηλοτυπούντων· ἀγνοούντων δὲ ὡς κατάρατος οἰκέτης, ἢ οἰκονόμος ὑπεισιὼν λαθραίως, ἐμπαροινήσει τὸν κακοδαίμονα καὶ ἀνέραστον δεσπότην, πρὸς ἀμαυρόν τι καὶ μικρόστομον λυχνίδιον, καὶ διψαλέον θρυαλλίδιον, ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοις. Πῶς οὖν οὐκ ἄδικον, πάλαι μέν σε ταῦτα αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι τὰ ἐναντία ἐπικαλεῖν;

15. ΠΛΟΥ. Καὶ μὴν εἴγε τἀληθῆ ἐξετάζοις, ἄμφω σοι εὔλογα δόξω ποιεῖν. Τοῦ τε γὰρ Τίμωνος τὸ πάνυ τοῦτο [6] ἀνειμένον, ἀμελὲς, καὶ οὐκ εὐνοϊκὸν, [7] ὡς πρὸς ἐμὲ, εἰκότως ἂν δοκοίη· τούς τε αὖ κατάκλειστον ἐν θύραις καὶ σκότῳ φυλάττοντας, ὅπως αὐτοῖς παχύτερος γενοίμην, καὶ πιμελὴς, καὶ ὑπέρογκος, ἐπιμελουμένους, οὔτε προσαπτομένους αὐτοὺς, οὔτε εἰς τὸ φῶς προάγοντας, ὡς μηδὲ ὀφθείην πρός τινος, ἀνοήτους

6 Ἀνειμένον] Subaud. ἦθος.

7 Ὡς πρὸς ἐμὲ] Ὡς πρὸς sequente accus. vel personæ vel rei significat idem quod ὅσον vel ὅσα πρὸς, *quantùm attinet*. Vid. Vigerum.——Ἀνήκει verò subauditur.

ἐνόμιζον εἶναι, καὶ ὕβριςάς· οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας, οὐκ εἰδότας ὡς μετὰ μικρὸν ἀπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με καταλιπόντες.

16. Οὔτ' οὖν ἐκείνους, οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τοὺς, ὅπερ ἄριςόν ἐςι, μέτρον ἐπιθήσοντας τῷ πράγματι, καὶ μήτε ἀφεξομένους τοπαράπαν, μήτε προησομένους τὸ ὅλον.

17. ΖΕΥΣ. Τί δὲ ἀγανακτεῖς κατ' αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην· οἱ μὲν, ὥσπερ ὁ Τάνταλος, ἄποτοι, καὶ ἄγευςοι, καὶ ξηροὶ τὸ ςόμα, ἐπικεχηνότες μόνον τῷ χρυσίῳ· οἱ δὲ, καθάπερ [8] ὁ Φινεὺς, ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ τῶν ἁρπυιῶν ἀφαιρούμενοι. Ἀλλ' ἄπιθι ἤδη σωφρονεςέρῳ παραπολὺ τῷ Τίμωνι ἐντευξόμενος. ΠΛΟΥ. Ἐκεῖνος γάρ ποτε παύσεται ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλως εἰσρυῆναί με, κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιῤῥοὴν, μὴ ὑπέραντλος εἰσπεσὼν ἐπικλύσω αὐτόν; ὥςε ἐς τὸν τῶν Δαναιδῶν πίθον ὑδροφορήσειν μοι δοκῶ, καὶ μάτην ἐπαντλήσειν, τοῦ κύτους μὴ ςέγοντος· ἀλλὰ πρὶν εἰσρυῆναι, σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιῤῥέοντος· οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνὸς τοῦ πίθου, καὶ ἀκώλυτος ἡ ἔξοδος.

8 Ὁ Φινεὺς] De Phineo Virg. Æn. 2. Cognatus.

18. ΖΕΥΣ.

18. ΖΕΥΣ. Οὐκοῦν εἰ μὴ ἐμφράξηται τὸ κεχηνὸς τοῦτο, καὶ εἰς τὸ ἅπαξ ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σοῦ, ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις, καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου· ἀλλ' ἄπιτε ἤδη, καὶ πλουτίζετε αὐτόν. Σὺ δὲ μέμνησο, ὦ Ἑρμῆ, ἐπανιὼν, πρὸς ἡμᾶς ἄγειν τοὺς Κύκλωπας ἐκ τῆς Αἴτνης, ὅπως τὸν κεραυνὸν ἀκονήσαντες, ἐπισκευάσωσιν, ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα.

19. ΕΡ. Προΐωμεν, ὦ Πλοῦτε· τί τοῦτο; ὑποσκάζεις; ἐλελήθεις με, ὦ γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χωλὸς ὤν. ΠΛΟΥ. Οὐκ ἀεὶ τοῦτο, ὦ Ἑρμῆ· ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα πεμφθεὶς ὑπὸ τοῦ Διὸς, οὐκ οἶδ' ὅπως βραδύς εἰμι καὶ [9] χωλὸς ἀμφοτέροις, ὡς μόλις [0] τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ περιμένοντος· ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄψει, πολὺ τῶν ὀρνέων ὠκύτερον· Ἅμα γοῦν ἔπεσεν ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νενικηκὼς, ὑπερπηδήσας τὸ στάδιον, οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν. ΕΡ. Οὐκ ἀληθῆ ταῦτα φής. Ἐγὼ δὲ καὶ πολλοὺς ἂν εἰπεῖν [1] ἔχοιμί σοι, χθὲς μὲν οὐδὲ ὀβολὸν ὥστε πρίασθαι βρόχον ἐσχηκότας, ἄφνω δὲ

9 Χωλὸς ἀμφοτέροις] Subaud. ποσίν.

0 Τελεῖν ἐπὶ τὸ τέρμα] Τελεῖν perinde esse videtur, ac si diceretur τελεῖν τὸν δρόμον, conficere cursum. Barl.

1 Ἔχοιμι] Idem quod δυναίμην. Ἔχω enim sæpe sæpius possum significat.

τήμερον

τήμερον πλουσίους, καὶ πολυτελεῖς, ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε· καὶ ὅμως πορφυροῖ, καὶ χρυσόχειρες περιέρχονται, οὐδ' αὐτοὶ πιστεύοντες, οἶμαι, ὅτι μὴ ὄναρ πλουτοῦσιν.

20. ΠΛ. Ἑτεροῖον τοῦτ' ἐστιν, ὦ Ἑρμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τότε· οὐδὲ ὁ Ζεὺς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με παρ' αὐτοὺς, [2] ἅτε πλουτοδότης, καὶ μεγαλόδωρος καὶ αὐτὸς ὤν· δηλοῖ γοῦν καὶ τῷ ὀνόματι. Ἐπειδὰν τοίνυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλτον ἐμβαλόντες με, καὶ κατασημηνάμενοι ἐπιμελῶς, φορηδὸν ἀράμενοι, μετακομίζουσι. Καὶ ὁ μὲν νεκρὸς ἐν [3] σκοτεινῷ που τῆς οἰκίας πρόκειται, ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς. Ἐμὲ δὲ οἱ ἐπελπίσαντες, ἐν τῇ ἀγορᾷ περιμένουσι κεχηνότες, ὥσπερ τὴν χελιδόνα προσπετομένην τετριγότες οἱ νεοττοί.

21. Ἐπειδὰν δὲ τὸ σημεῖον ἀφαιρεθῇ, καὶ τὸ λίνον ἐντμηθῇ, καὶ ἡ δέλτος ἀνοιχθῇ, καὶ ἀνακηρυχθῇ μου ὁ καινὸς δεσπότης, ἤτοι συγγενής τις, ἢ κόλαξ· ἐκεῖνος μὲν, ὅστις ἂν ᾖ ποτὲ, ἁρπασάμενός με αὐτῇ δέλτῳ,

2 Ἅτε πλουτοδότης] Αἰνίττεται εἰς τοὺς ἀπὸ τῶν τελευτώντων πλουσίων διαδεχομένους τὸν κλῆρον· ταύτῃ τοι καὶ ὑπὸ τοῦ Πλούτωνός φασιν αὐτοῖς τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα μεταβολήν. Schol.

3 σκοτεινῷ] Subaud. τόπῳ vel μέρει.

θέει

θέει φέρων, ἀντὶ τοῦ τέως [4] Πυῤῥίου, ἢ Δρόμωνος, ἢ Τιβίου, Μεγακλῆς, ἢ Μεγάβυζος, ἢ Πρώταρχος μετονομασθεὶς, τοὺς μάτην κεχηνότας ἐκείνους εἰς ἀλλήλους ἀποβλέποντας καταλιπὼν, ἀληθὲς ἄγοντας τὸ πένθος, οἷος αὐτοὺς ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν, οὐκ ὀλίγον τὸ δέλεαρ [5] καταπιών·

22. Ὁ δὲ, ἐμπεσὼν ἀθρόως ἐς ἐμὲ, ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς, καὶ εἰ παριὼν ἄλλος μαστίξειέ τις, ὄρθιον ἐφιστὰς τὸ οὖς, καὶ [6] τὸν μυλῶνα ὥσπερ τὸ [7] Ἀνάκτορον προσκυνῶν, οὐκ ἔτι φορητός ἐστι τοῖς ἐντυγχάνουσιν· ἀλλὰ τούς τε ἐλευθέρους ὑβρίζει, καὶ τοὺς ὁμοδούλους μαστιγοῖ, ἀπογειρώμενος εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν· ἄχρις ἂν ἢ ἐς πορνίδιόν τι ἐμπεσὼν, ἢ ἱπποτροφίας ἐπιθυμήσας, ἢ κόλαξι παραδοὺς ἑαυτὸν, ὀμνύουσιν ἦ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐγενέστερον δὲ τοῦ Κέκρο-

4 Πυῤῥί", &c.] Οἰκετικὰ ταῦτα παρὰ τοῖς παλαιοῖς ὀνόματα. Schol. contra autem Megacles, Megabyzus, Protarchus, nobilium hominum nomina. Tan. Fab.

5 Καταπιών] Pro καταφαγών. Degeneravit hoc verbum à simplice πίνω, et sæpius de carnibus et piscibus pro *devorare* usurpatur. Barlæus.

6 Τὸν μυλῶνα] Servi non modò compedibus vinciri, sed et in pistrinum dedi ob noxam solebant. Unde *pistrino dignus* apud Terent. Erat autem locus, in quo panis pinsebatur, aut mola quam versabant mancipia, pro quibus hodie jumentis utimur, aut molis pneumaticis aquaticisve. Barl.

7 Ἀνάκτορον] Τὸ τῆς Δημητρὸς ἱερόν. Vid. Hesych.

πος, ἢ Κόδρου, συνετώτερον δὲ τοῦ Ὀδυσσέως, πλουσιώτερον δὲ συνάμα Κροίσων ἑκκαίδεκα, ἐν ἀκαρεῖ τοῦ χρόνου ἄθλιος ἐκχέῃ τὰ κατ' ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν, καὶ ἁρπαγῶν, καὶ πανουργιῶν συνειλεγμένα.

23. ΕΡ. Αὐτά που σχεδὸν φῂς τὰ γιγνόμενα. Ὁπόταν δ' οὖν αὐτόπους βαδίζῃς, πῶς, οὕτω τυφλὸς ὤν, εὑρίσκεις τὴν ὁδόν; ἢ πῶς διαγινώσκεις ἐφ' οὓς ἄν σε ὁ Ζεὺς ἀποστείλῃ, κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους; ΠΛΟΥ. Οἴει γὰρ εὑρίσκειν με οἵ τινές εἰσι; ΕΡ. Μὰ τὸν Δία οὐ πάνυ. [8] Οὐ γὰρ, Ἀριστείδην καταλιπὼν, Ἱππονίκῳ καὶ Καλλίᾳ προσῄεις, καὶ πολλοῖς ἄλλοις Ἀθηναίων οὐδὲ ὀβολοῦ ἀξίοις. Πλὴν ἀλλὰ τί πράττεις καταπεμφθείς; ΠΛΟΥ. Ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρις ἂν λάθω τινὶ ἐμπεσών· ὁ δὲ ὅστις ἂν πρῶτός μοι περιτύχῃ ἀπαγαγὼν ἔχει, [9] σὲ τὸν Ἑρμῆν ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν.

24. ΕΡ. Οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς οἰόμενός σε κατὰ τὰ αὐτῷ δοκοῦντα πλουτίζειν, ὅσους ἂν οἴηται τοῦ

8 Οὐ γὰρ Ἀριστείδην, &c.] Aristides vir fuit Atheniensis nobilitate et justitiâ insignis, de quo Corn. Nepos, lib. 3. inquit, *Aristides quâ fuerit abstinentiâ nullum est certius indicium, quàm quòd, cùm tantis rebus præfuisset, in tantâ paupertate discessit, ut, qui efferretur, vix relinqueret.* Callias et Hipponicus duo itidem viri Athenienses, pater et filius, ob luxum et libidinem celebratissimi. Barl.

9 Σὲ τὸν Ἑρμῆν, &c.] Lucrum enim insperatum à Mercurio objici credebant. Tan. Fab.

πλουτεῖν

πλουτεῖν ἀξίους; ΠΛΟΥΤ. Καὶ μάλα δικαίως, ὦ 'γαθὲ, ὅς γε τυφλὸν ὄντα εἰδὼς, ἔπεμπεν ἀναζητήσοντα δυσεύρετον οὕτω χρῆμα, καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς ἐκ τοῦ βίου· ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως ἀμαυρὸν οὕτω καὶ μικρὸν ὄν. Τοιγαροῦν ἅτε τῶν μὲν ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων, ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιϊὼν, καὶ σαγηνεύομαι πρὸς αὐτῶν. ΕΡ. Εἶτα πῶς, ἐπειδὰν καταλίπῃς αὐτοὺς, ῥᾳδίως φεύγεις, οὐκ εἰδὼς τὴν ὁδόν; ΠΛΟΥΤ. Ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς.

25. ΕΡ. Ἔτι δή μοι καὶ τοῦτο ἀπόκριναι· πῶς τυφλὸς ὢν, εἰρήσεται γὰρ, καὶ προσέτι ὠχρὸς, καὶ βαρὺς ἐκ τοῖν σκελοῖν, τοσούτους ἐραστὰς ἔχοις, ὥστε πάντας ἀποβλέπειν εἰς σὲ καὶ τυχόντας μὲν, εὐδαιμονεῖν οἴεσθαι· εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινὰς οὐκ ὀλίγους αὐτῶν οὕτω σοῦ δυσέρωτας ὄντας, ὥστε καὶ ἐς βαθυκήτεα πόντον φέροντες ἔρριψαν αὐτοὺς, καὶ πετρῶν κατ' ἠλιβάτων, ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτι περ οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς. Πλὴν ἀλλὰ καὶ σὺ ἂν, εὖ οἶδα ὅτι ὁμολογήσειας, εἴ τι ξυνίης σαυτοῦ, κορυβαντιᾷν αὐτοὺς, ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας.

26. ΠΛΟΥΤ. Οἴει γὰρ τοιοῦτον, οἷός εἰμι, ὁρᾶσθαι αὐτοῖς, χωλὸν, ἢ τυφλὸν, ἢ ὅσα ἄλλα μοι πρόσεστιν;

ΕΥ. Ἀλλὰ πῶς, ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσί; ΠΛΟΥ. Οὐ τυφλοὶ, ὦ ἄριστε· ἀλλ' ἡ ἄγνοια, καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς. Ἔτι δὲ καὶ αὐτὸς, ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖον περιθέμενος ἐρασμιώτατον, διάχρυσον, καὶ λιθοκόλλητον, καὶ ° ποικίλα ἐνδὺς, ἐντυγχάνω αὐτοῖς· οἱ δὲ αὐτοπρόσωπον, οἰόμενοι ὁρᾶν τὸ κάλλος, ἐρῶσι, καὶ ἀπόλλυνται μὴ ἐντυγχάνοντες· ὡς εἴγέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας ἐπέδειξέ με, δῆλον ὡς κατεγίνωσκον ἂν αὐτῶν, ἀμβλυώττοντες τὰ τηλικαῦτα, καὶ ἐρῶντες ἀνεράστων, καὶ ἀμόρφων πραγμάτων.

27. ΕΡ. Τί οὖν καὶ ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενόμενοι, καὶ τὸ προσωπεῖον αὐτὸ περιθέμενοι, ἔτι ἐξαπατῶνται, καὶ ἤν τις ἀφαιρῆται αὐτοὺς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δεῖ καὶ τότε ἀγνοεῖν (εἰκὸς) αὐτοὺς ὡς ἐπίχρυσος ἡ εὐμορφία ἐστὶν, ἔνδοθεν τὰ πάντα ὁρῶντας. ΠΛΟΥ. Οὐκ ὀλίγα, ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται. ΕΡ. Τὰ ποῖα; ΠΛΟΥ. Ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον, ἀναπετάσας τὴν θύραν, εἰσδέχεταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ Τῦφος, καὶ ἡ Ἄνοια, καὶ ἡ Μεγαλαυχία, καὶ ἡ Μαλακία, καὶ Ὕβρις, καὶ Ἀπάτη,

° Ποικίλα ἐνδὺς] Subaud. ἐνδύματα vel ἱμάτια.

καὶ ἄλλα ἄτλα μυρία· ὑπὸ δὴ τέτων ἁπάνλων καλαληφθεὶς τὴν ψυχὴν θαυμάζει τε τὰ ἐ θαυμαςὰ, καὶ ὀρέγεἶαι τῶν φευκἶῶν· κἀμὲ τὸν πάνἶων ἐκείνων πατέρα τῶν εἰσεληλυθότων κακῶν τέθηπε, δορυφορέμενον ὑπ᾿ αὐτῶν· καὶ πάνἶα πρότερον πάθοι ἂν, ἢ ἐμὲ προέσθαι ὑπομείνειν ἄν.

28. ΕΡ. Ὡς δὲ λεῖος εἶ, ὦ Πλἔτε, καὶ ὀλισθηρὸς, καὶ δυσκάθεκἶος, καὶ διαφευκἶικὸς, ἐδεμίαν ἀνἶιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ᾿ ὥσπερ ἐγχέλεις, ἢ αἱ ὄφεις διὰ τῶν δακἶύλων δραπεἶεύεις, ἐκ οἶδα ὅπως. Ἡ Πενία δ᾿ ἔμπαλιν ἰξώδης τε, καὶ εὐλαβὴς, καὶ μυρία τὰ ἄγκιςρα ἐκπεφυκότα ἐξ ἅπανἶος τἒ σώμαἶος ἔχεσα, ὡς πλησιάσανἶας εὐθὺς ἔχεσθαι, καὶ μὴ ἔχειν ῥαδίως ἀπολυθῆναι. Ἀλλὰ μεἶαξὺ ἤδη φλυαρἔνἶας ἡμᾶς πρᾶγμα ἐ μικρὸν διέλαθε. ΠΛΟΥ. Τὸ ποῖον; ΕΡ. Ὅτι τὸν Θησαυρὸν ἐκ ἐπηγαγόμεθα, ὅπερ ἔδει μάλιςα.

29. ΠΛΟΥ. Θάῤῥει τέτε γε ἕνεκα. Ἐν τῇ γῇ αὐτὸν καἶαλείπων ἀεὶ ἀνέρχομαι παρ᾿ ὑμᾶς, ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενὶ, ἢν μὴ ἐμἒ ἀκέσῃ βοήσανἶος. ΕΡ. Οὐκἒν ἐπιβαίνωμεν ἤδη τῆς Ἀτἶικῆς. Καί μοι ἕπε ἐχόμενος τῆς χλαμύδος, ἄχρις ἂν πρὸς τὴν ἐσχαἶιὰν ἀφίκωμαι. ΠΛΟΥ. Εὖ ποιεῖς, ὦ Ἑρμῆ, χειραγωγῶν. Ἐπεὶ ἤν

γε ἀπολίπῃς με, [1] Ὑπερβόλῳ τάχα ἢ Κλέωνι ἐμπεσοῦμαι περινοστῶν. Ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι καθάπερ σιδήρου πρὸς λίθον;

30. ΕΡ. Ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον ὀρεινὸν καὶ ὑπόλιθον γήδιον. Παπαί. Καὶ ἡ Πενία πάρεστι, καὶ ὁ Πόνος ἐκεῖνος· ἡ Καρτερία δὲ, καὶ ἡ Σοφία, καὶ ἡ Ἀνδρία, καὶ ὁ τοιοῦτος ὄχλος, τῶν ὑπὸ τῷ λιμῷ ταττομένων ἁπάντων, πολὺ ἀμείνους τῶν σῶν δορυφόρων. ΠΛΟΥ. Τί οὖν οὐκ ἀπαλλαττόμεθα, ὦ Ἑρμῆ, τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιόλογον πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον. ΕΡ. Ἄλλως ἔδοξε τῷ Διΐ· μὴ ἀποδειλιῶμεν οὖν.

31. ΠΕ. Ποῖ τοῦτον ἀπάγεις, ὦ [2] Ἀργειφόντα, χειραγωγῶν; ΕΡ. Ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός. ΠΕ. Νῦν ὁ Πλοῦτος [3] ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς ἔχοντα ὑπὸ τῆς τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα, τῇ Σοφίᾳ, καὶ τῷ Πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ, καὶ εὐαδίκητος, ὥσθ᾽ ὃ μόνον κτῆμα εἶχον, ἀφαιρεῖσθέ με, ἀκριβῶς

1 Ὑπερβόλῳ καὶ Κλέωνι] Homines sunt suâ μοχθηρίᾳ nobiles. Vid. Plutar. Aristoph. et scripta in eum Scholia. Tan. Fab.

2 Ὦ Ἀργειφόντα] Mercurium indigitat per ludibrium Homerico utens Epitheto. Sic appellatur, quòd Argum Iûs custodem occiderit secundùm poëtas. Barlæus. Vid. Ov. Met. lib. 3.

3 Ἐπὶ Τίμωνα] Subaud. πέμπεται.

πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν' αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν Ὕβρει καὶ Τύφῳ ἐγχειρίσας, ὅμοιον τῷ πάλαι, μαλθακὸν, καὶ ἀγεννῆ, καὶ ἀνόητον ἀποφήνας, ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον. ΕΡ. Ἔδοξε ταῦτα, ὦ Πενία, τῷ Διΐ.

32. ΠΕ. Ἀπέρχομαι. Καὶ ὑμεῖς δὲ, ὦ Πόνε, καὶ Σοφία, καὶ οἱ λοιποὶ, ἀκολουθεῖτέ μοι. Οὗτος δὲ τάχα εἴσεται οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν, συνεργὸν, καὶ διδάσκαλον τῶν ἀρίστων· ᾗ συνὼν, ὑγιεινὸς μὲν τὸ σῶμα, ἐῤῥωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν, καὶ πρὸς αὐτὸν ἀποβλέπων· τὰ δὲ περιττὰ καὶ πολλὰ ταῦτα, ὥσπερ ἐστιν, ἀλλότρια ὑπολαμβάνων. ΕΡ. Ἀπέρχονται. Ἡμεῖς δὲ προσίωμεν αὐτῷ.

33. ΤΙ. Τίνες ἐστὲ, ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε, ἄνδρα ἐργάτην, καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ' οὐ χαίροντες ἄπιτε, μιαροὶ πάντες ὄντες· ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων τοῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω. ΕΡ. Μηδαμῶς, ὦ Τίμων, μὴ βάλῃς· οὐ γὰρ ἀνθρώπους ὄντας βαλεῖς. Ἀλλ' ἐγὼ μὲν Ἑρμῆς εἰμι, οὗτος δὲ ὁ Πλοῦτος. Ἔπεμψε δὲ ὁ Ζεὺς ἐπακούσας τῶν εὐχῶν. Ὥστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον, ἀποστὰς τῶν πόνων. ΤΙ. Καὶ ὑμεῖς οἰμώξεσθε ἤδη, καίτοι Θεοὶ ὄντες, ὥς φατε. Πάντας γὰρ ἅμα καὶ Θεοὺς καὶ ἀνθρώπους μισῶ. Τουτονὶ δὲ τὸν τυφλὸν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι δοκῶ τῇ δικέλλῃ. ΠΛΟΥ. Ἀπίωμεν,

Ἀπίωμεν, ὦ Ἑρμῆ, πρὸς τοῦ Διός, μελαγχολᾷν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν ἀπέλθω προσλαβών.

34. ΕΡ. [4] Μηδὲν σκαιόν, ὦ Τίμων· ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον καὶ τραχὺ καταβαλών, προτείνας τὼ χεῖρε, λάμβανε τὴν ἀγαθὴν τύχην. καὶ πλούτει πάλιν, καὶ ἴσθι Ἀθηναίων [5] τὰ πρῶτα, καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων, μόνος αὐτὸς εὐδαιμονῶν. ΤΙ. Οὐδὲν ὑμῶν δέομαι. Μὴ ἐνοχλεῖτέ μοι· ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δίκελλα· τὰ δ' ἄλλα, εὐδαιμονέστατός εἰμι, μηδενός μοι πλησιάζοντος. ΕΡ. Οὕτως, ὦ τᾶν, ἀπανθρώπως; [6] "τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε, κρατερόν τε"· καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναι σε, τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς, οὕτως ἐπιμελουμένων σου τῶν Θεῶν.

35. ΤΙ. Ἀλλὰ σοὶ μέν, ὦ Ἑρμῆ, καὶ τῷ Διῒ πλείστη χάρις τῆς ἐπιμελείας· τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι. ΕΡ. Τί δή; ΤΙ. Ὅτι καὶ πάλαι μυρίων κακῶν μοι αἴτιος οὗτος κατέστη, κόλαξί τε παραδοὺς, καὶ ἐπιβούλους ἐπαγαγών, καὶ μῖσος ἐπεγείρας, καὶ ἡδυπαθείᾳ καταφθείρας, καὶ ἐπίφθονον ἀποφήνας· τέλος δέ, ἄφνω καταλιπὼν οὕτως ἀπίστως, καὶ προδο-

4 Μηδὲν σκαιὸν] Scilicet διαπράξαιο ἄν. Barl.

5 Τὰ πρῶτα] Pro ὁ πρῶτος, vel τὰ πρῶτα φερόμενος, qui primus est, vel primas tenet inter Athenienses. Barl.

6 Τόνδε φέρω] Hom. Il. ο. v. 202.

τικῶς

νίκως. Ἡ βελτίστη δὲ Πενία, πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα, καὶ μετ' ἀληθείας καὶ παῤῥησίας προσομιλοῦσα τά τε ἀναγκαῖα κάμνοντι παρεῖχε, καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν ἐπαίδευεν, ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι τοῦ βίου, καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμὸς, ὃν οὔτε κόλαξ θωπεύων, οὔτε συκοφάντης φοβῶν, οὐ δῆμος παροξυνθεὶς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος ἐπιβουλεύσας ἀφελέσθαι δύναιτ' ἄν.

36. Ἐῤῥωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων, τοῦτονὶ τὸν ἀγρὸν φιλαπόνως ἐπεργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει κακῶν, ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλφιτα παρὰ τῆς δικέλλης. Ὥστε παλίνδρομος ἄπιθι, ὦ Ἑρμῆ, τὸν Πλοῦτον ἀπαγαγὼν τῷ Διΐ· ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν πάντας ἀνθρώπους [7] ἡβηδὸν οἰμώζειν ποιῆσαι. ΕΡ. Μηδαμῶς, ὦ 'γαθέ· οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς οἰμωγήν. Ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα, καὶ μειρακιώδη, καὶ τὸν Πλοῦτον παράλαβε· [8] οὔτοι ἀπόβλητά εἰσι δῶρα τὰ παρὰ τοῦ Διός. ΠΛΟΥ. Βούλει, ὦ Τίμων, δικαιολογήσομαι πρὸς σέ; ἢ χαλεπαίνεις μοι

7 Ἡβηδὸν] Interdum significat ἀθρόον, vel πάσας καθ' ἡλικίας ut Suidas ex veteribus glossis vertit. Tan. Fab. Ἀθρόον autem est *confertim, sine discrimine,* juvenum scilicet more. Est enim ab ἥβη Juventus. Leeds.

8 Οὔτοι &c.] Ex Homeri versu,

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα. Tan. Fab.

λέγοντι;

λέγοντι; ΤΙ. [9] Λέγε· μὴ μακρὰν μέντοι, μηδὲ μετὰ προοιμίων, ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες· ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα διὰ τὸν Ἑρμῆν τουτονί.

37. ΠΛΟΥ. Ἐχρῆν μέντοι ἴσως καὶ μακρὰ εἰπεῖν, οὕτω πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα· ὅμως δὲ ὅρα, εἴ τι σε ὡς φῂς, ἠδίκηκα, ὃ τῶν ἡδίστων ἁπάντων αἴτιός σοι κατέστην, τιμῆς, καὶ προεδρίας, καὶ στεφάνων, καὶ τῆς ἄλλης τρυφῆς· περίβλεπτος δέ τοι καὶ ἀοίδιμος δι' ἐμὲ ἦσθα, καὶ περισπούδαστος· εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀναίτιος ἐγώ σοι· μᾶλλον δὲ αὐτὸς ἠδίκημαι τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλλες ἀνδράσι καταράτοις, ἐπαινοῦσι, καὶ καταγοητεύουσι, καὶ πάντα τρόπον ἐπιβουλεύουσί μοι· καὶ τό γε τελευταῖον ἔφησθα, ὡς προδέδωκά σε· τοὐναντίον δὲ αὐτὸς ἐγκαλέσαιμί σοι πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ, καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς οἰκίας· τοιγαροῦν ἀντὶ μαλακῆς χλαμύδος, ταύτην τὴν διφθέραν ἡ τιμιωτάτη σοι Πενία περιτέθεικεν· ὥστε μάρτυς ὁ Ἑρμῆς οὑτοσί, πῶς ἱκέτευον τὸν Δία μήθ' ἥκειν παρὰ σέ, οὕτω δυσμενῶς μοι προσενηνεγμένον.

9 Λέγε, μὴ μακρὰν μέντοι] Subaud. ῥῆσιν. Lucianus enim in Prometheo ῥῆσιν τινα μακρὰν——μακρὰν igitur, ut opinor, nunquam adverbialiter ponitur; sed cùm solùm dicitur pro longè, subaud. κατὰ; cùm substant. ὁδὸν: cùm pro diu, κατὰ vel ἐπὶ ὥραν.

38. ΕΡ.

38. ΕΡ. Ἀλλὰ νῦν ὁρᾷς, ὦ Πλοῦτε, οἷος ἤδη γεγένηται; ὥστε θαῤῥῶν ξυνδιάτριβε αὐτῷ. Καὶ σὺ μὲν σκάπτε ὡς ἔχεις· σὺ δὲ τὸν Θησαυρὸν ὕπαγαγε τῇ δικέλλῃ· ὑπακούσεται γὰρ ἐμβοήσαντί σοι. ΤΙ. Πειστέον, ὦ Ἑρμῆ, καὶ αὖθις πλουτητέον. Τί γὰρ ἂν καὶ πάθοι τις, ὁπόταν οἱ Θεοὶ βιάζοιντο; πλὴν ὅρα γε εἰς οἷά με πράγματα ἐμβαλεῖς τὸν κακοδαίμονα, ὃς ἄχρι νῦν εὐδαιμονέστατα διάγων, χρυσὸν ἄφνω τοσοῦτον λήψομαι οὐδὲν ἀδικήσας, καὶ τοσαύτας φροντίδας ἀναδέξομαι.

39. ΕΡ. Ὑπόστηθι, ὦ Τίμων, δι' ἐμὲ, καὶ εἰ χαλεπὸν τοῦτο, καὶ οὐκ οἰστόν ἐστιν, ὅπως οἱ κόλακες ἐκεῖνοι διαῤῥαγῶσιν ὑπὸ τοῦ φθόνου. Ἐγὼ δὲ ὑπὲρ τὴν Αἴτνην ἐς τὸν οὐρανὸν ἀναπτήσομαι. ΠΛΟΥ. Ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ· τεκμαίρομαι γὰρ τῇ εἰρεσίᾳ τῶν πτερῶν· σὺ δὲ αὐτοῦ περίμενε· ἀναπέμψω γάρ σοι τὸν Θησαυρὸν ἀπελθών· μᾶλλον δὲ παῖε. σέ φημι, Θησαυρὲ χρυσοῦ, ὑπάκουσον Τίμωνι τουτῳῒ, καὶ πάρασχε σεαυτὸν ἀνελέσθαι. Σκάπτε, ὦ Τίμων, βαθείας καταφέρων. [o] Ἐγὼ δὲ ὑμῖν ὑποστήσομαι.

40. ΤΙ. Ἄγε δὴ, ὦ δίκελλα, νῦν μοι ἐπίῤῥωσον σεαυτὴν, καὶ μὴ κάμῃς ἐκ τοῦ βάθους τὸν Θησαυρὸν ἐς

[o] Ἐγὼ δὲ ὑμῖν ὑποστήσομαι] ὑποστήσομαι, teste Budæo, idem est quòd ὑποχωρήσω, et τὸ ὑμῖν Timonem et Thesaurum respicit; priùs enim dixerat σέ φημι, Θησαυρέ.

τοὐμφανὲς προκαλουμένη. Ὦ Ζεῦ τεράστιε, καὶ φίλοι [1] Κορύβαντες, καὶ Ἑρμῆ κερδῷε, πόθεν χρυσίον τοσοῦτον; ἤπου ὄναρ ταῦτά ἐστι; δέδια γοῦν [2] μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος. Ἀλλὰ μὴν χρυσίον ἐστὶν ἐπίσημον, ὑπέρυθρον, βαρὺ, καὶ τὴν πρόσοψιν ὑπερήδιστον. [3] Ὦ χρυσὲ, δέξιωμα κάλλιστον βροτοῖς. Αἰθόμενον γὰρ πῦρ ἅτε διαπρέπεις καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν. Ἐλθὲ, ὦ φίλτατε, καὶ ἐρασμιώτατε· νῦν πείθομαι γε καὶ Δία ποτὲ γενέσθαι χρυσόν. [4] Τίς γὰρ οὐκ ἂν παρθένος ἀναπεπταμένοις τοῖς κόλποις ὑποδέξαιτο οὕτω καλὸν ἐραστὴν διὰ τοῦ τέγους καταῤῥέοντα;

41. Ὦ Μίδα, καὶ Κροῖσε, καὶ [5] τὰ ἐν Δελφοῖς ἀναθήματα, ὡς οὐδὲν ἄρα ἦτε ὡς πρὸς Τίμωνα, καὶ τὸν Τίμωνος πλοῦτον· ᾧ γε οὐδὲ βασιλεὺς ὁ Περσῶν ἴσος.

1 Κορύβαντες] Invocat Corybantes quòd nutricii fuerint Jovis, et Sacerdotes Cybeles, seu magnæ Matris, hoc est, Terræ, è cujus gremio prodibat Thesaurus. Barl.

2 Μὴ ἄνθρακας εὕρω] Ἄνθρακες ὁ Θησαυρὸς πέφυκεν *proverbium est, et in eos competit, qui spe suâ frustrantur, quique, magnificis rebus exspectatis, meras nugas reperiunt. Ex eventu quopiam natum videtur, quo quispiam Thesauri spe fodiens, carbones defossos invenit.* Vid. Erasm. Adag.

3 Ὦ χρυσὲ, &c] Versus Euripideus: (*Vid. Eurip. Belleroph.*) quæ autem sequuntur, αἰθόμενον γὰρ, &c. ea ex Pindaro sunt. Jan Fab.

4 Τίς γὰρ οὐκ ἂν παρθένος] Ad Danaen respicit: res nota.

5 Τὰ ἐν Δελφοῖς, &c.] De quibus in Charonte, dissertatione Solonis et Crœsi. Bourdelotius.

Ὦ δί-

Ὦ δίκελλα, καὶ φιλτάτη διφθέρα, ὑμᾶς μὲν [6] τῷ Πανὶ τούτῳ ἀναθεῖναι καλόν· αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος τὴν ἐσχατιὰν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ Θησαυροῦ, μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον ἀποθανὼν ἕξειν μοι δοκῶ. Δεδόχθω δὲ ταῦτα, καὶ νενομοθετήσθω πρὸς τὸν ἐπίλοιπον βίον, ἀμιξία πρὸς ἅπαντας, καὶ ἀγνωσία, καὶ ὑπεροψία· φίλος δὲ, ἢ ξένος, ἢ ἑταῖρος, ἢ [7] ἐλέου βωμὸς, ὕθλος πολύς· καὶ τὸ οἰκτεῖραι δακρύοντα, ἢ ἐπικουρῆσαι δεομένῳ, παρανομία καὶ κατάλυσις τῶν ἐθῶν· μονήρης δὲ ἡ δίαιτα [8] καθάπερ τοῖς λύκοις, καὶ φίλος εἷς Τίμων.

42. Οἱ δὲ ἄλλοι πάντες, ἐχθροὶ, καὶ ἐπίβουλοι· καὶ τὸ προσομιλῆσαί τινι αὐτῶν, μίασμα· καὶ εἴ τινα ἴδω μόνον, ἀποφρὰς ἡ ἡμέρα. Καὶ ὅλως ἀνδριάντων λιθίνων, ἢ χαλκῶν, μηδὲν ἡμῖν διαφερέτωσαν· καὶ μήτε κήρυκα δεχώμεθα παρ' αὐτῶν, μήτε σπονδὰς σπενδώμεθα· ἡ ἐρημία δὲ ὅρος ἔστω πρὸς αὐτούς. Φυλέται δὲ, καὶ φράτορες, καὶ δημόται, καὶ ἡ πα-

6 Τῷ Πανὶ τούτῳ] Ἐπὶ ταῖς ἐσχατιαῖς γὰρ καὶ τοῖς ἐρημοτέροις τῶν χωρίων εἰώθεσαν Ἕλληνες τὸν Πᾶνα ἱδρύεσθαι. Schol.

7 Ἢ ἐλέου βωμὸς] Apud Athen. primum hæc ara fuit instituta, ad quam confugiebant miseri et afflicti homines: quin Romani etiam *Misericordiæ* templum statuerunt, tanquam perfugii loco miseris. Unde et Græci Latinique aram summum vocant præsidium, quæ vice cujusdam inviolati sit asyli. Barl.

8 Καθάπερ τοῖς λύκοις] Lupi enim, ut Physici docent, non gregatim, sed solitarii incedunt. Barl.

τρὶς αὐτὴ, ψυχρὰ, καὶ ἀνωφελᾶ ὀνόματα, καὶ ἀνοήτων ἀνδρῶν φιλοτιμήματα. Πλετείτω δὲ Τίμων μόνος, καὶ ὑπεροράτω ἁπάντων, καὶ τρυφάτω μόνος καθ' ἑαυτὸν, κολακείας καὶ ἐπαίνων φορτικῶν ἀπηλλαγμένος, καὶ θεοῖς θυέτω, καὶ εὐωχείσθω μόνος ἑαυτῷ γείτων καὶ ὅμορος, ἐκσείων τῶν ἄλλων· καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι δεδόχθω, [9] ἢν δέῃ ἀποθανεῖν, ἢ αὐτῷ στέφανον ἐπενεγκεῖν.

43. Καὶ ὄνομα μὲν ἔστω ὁ Μισάνθρωπος ἥδιστον. Τᾶ τρόπα δὲ γνωρίσματα, δυσκολία, καὶ τραχύτης, καὶ σκαιότης, καὶ ὀργὴ, καὶ ἀπανθρωπία· εἰ δέ τινα ἴδοιμι ἐν πυρὶ διαφθειρόμενον, καὶ σβεννύναι ἱκετεύοντα, πίττῃ καὶ ἐλαίῳ κατασβεννύναι· καὶ ἤν τινα τᾶ χειμῶνος ὁ ποταμὸς παραφέρῃ, ὁ δὲ, τὰς χεῖρας ὀρέγων, ἀντιλαβέσθαι δέηται, ὠθεῖν καὶ τᾶτον ἐπὶ κεφαλὴν βαπτίζοντα, ὡς μηδὲ ἀνακύψαι δυνηθείη. Οὕτω γὰρ ἂν [o] τὴν ἴσην ἀπολάβοιεν. Εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδα Κολυττεύς· ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτός· εἶεν· ταῦτα ἡμῖν δεδόχθω· καὶ ἀνδρικῶς ἐμμένωμεν αὐτοῖς.

44. Πλὴν ἀλλὰ περὶ πολλᾶ ἂν ἐποιησάμην ἅπασι γνώριμα πῶς ταῦτα γενέσθαι, διότι ὑπερπλατῶ·

9 Ἢν δέῃ ἀποθανεῖν, ἢ αὐτῷ στέφανον ἐπενεγκεῖν]. Mortui enim in Græciâ olim coronati. Testimonia passim. Tan. Fabr.

o Τὴν ἴσην) Μοῖραν vel χάριν subintellige. Barl.

ἀγχόνη

ἀγχόνη γὰρ ἂν τὸ πρᾶγμα γένοιτο αὐτοῖς. Καίτοι τί τοῦτο; φεῦ τοῦ τάχους. Πανταχόθεν συνθέουσι κεκονισμένοι, καὶ πνευστιῶντες, οὐκ οἶδα ὅθεν ὀσφραινόμενοι τοῦ χρυσίου. Πότερον οὖν ἐπὶ τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω αὐτοὺς τοῖς λίθοις, [1] ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος, ἢ τόγε τοσοῦτον παρανομήσομεν, εἰσάπαξ αὐτοῖς ὁμιλήσαντες, ὡς πλέον ἀνιῷντο παρορώμενοι; τοῦτο οἶμαι καὶ ἄμεινον. Ὥστε δεχώμεθα ἤδη αὐτοὺς, ὑποστάντες. Φέρε ἴδω τίς ὁ πρῶτος αὐτῶν οὗτός ἐστι; [2] Γναθωνίδης ὁ κόλαξ, ὁ πρώην [3] ἔρανον αἰτήσαντι μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς. Ἀλλ' εὖγε ἐποίησεν ἀφικόμενος· οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων.

45. ΓΝΑ. Οὐκ ἐγὼ ἔλεγον, ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ ἀνδρὸς οἱ Θεοί; χαῖρε Τίμων εὐμορφότατε, καὶ ἥδιστε, καὶ συμποτικώτατε. ΤΙ. Νὴ καὶ σύ γε, ὦ Γναθωνίδη, γυπῶν ἁπάντων βορώτατε, καὶ ἀνθρώπων ἐπιτριπτότατε. ΓΝΑ. Ἀεὶ φιλοσκώμμων σύ γε. Ἀλλὰ ποῦ τὸ συμπόσιον; ὡς καινόν τί σοι

1 Ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος] Supp. τόπων. Quin et ἀκροβολίζεσθαι hîc latiùs sumitur, nec tantùm è longinquo jaculis petere, sed et lapidibus significat. Barl.

2 Γναθωνίδης] Nomen parasiticum. Bourd.

3 Ἔρανον] Pecuniæ genus, quam amicus amico adversam fortunam passo eâ lege erogabat, ut Deus aliquando meliora daret, quantum illi erogatum esset, tantundem ipsi restitueret. Barl.

ᾆσμα

ᾆσμα [4] τῶν νεοδιδάκτων διθυράμβων ἥκω κομίζων. ΤΙ. Καὶ μὴν ἐλεγεῖά γε ᾄσῃ μάλα περιπαθῶς ὑπὸ ταύτῃ τῇ δικέλλῃ. ΓΝΑ. Τί τοῦτο; παίεις, ὦ Τίμων; μαρτύρομαι· ὦ Ἡράκλεις, Ἰοὺ. Ἰοὺ. Προκαλοῦμαί σε [5] τραύματος εἰς [6] Ἄρειον πάγον. ΤΙ. Καὶ μὴν ἄν γε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα προκεκλήσῃ με. ΓΝΑ. Μηδαμῶς· ἀλλὰ σύ γε πάντως τὸ τραῦμα ἴασαι, μικρὸν ἐπιπάσας τοῦ χρυσίου· δεινῶς γὰρ ἴσχαιμόν ἐστι τὸ φάρμακον. ΤΙ. Ἔτι μένεις; ΓΝΑ. Ἄπειμι. Σὺ δὲ οὐ χαιρήσεις, οὕτω σκαιὸς ἐκ χρηστοῦ γενόμενος.

46. ΤΙ. Τίς οὗτός ἐστιν ὁ προσιὼν, ὁ ἀναφαλαντίας; Φιλιάδης, κολάκων ἁπάντων ὁ βδελυρώτατος.

4 Τῶν νεοδιδάκτων] *Qui nuper evulgati sunt*, non *quos nuper didici*. Διδάσκειν enim ad ἐπιδείξεις theatricas pertinet. Inde illa frequenter legas τραγῳδιδάσκαλος, κωμῳδιδάσκαλος, *&c.* Tan. Fab.

5 Τραύματος] Subaud. περί.

6 Ἄρειον πάγον] Metonymicè hìc designantur ipsi Areopagitæ, quorum judicum summa erat auctoritas; deque capitalibus causis pronunciabant tantâ integritate, ut noctu atque in tenebris, non interdiu causas cognoscerent, ut auctor est Lucianus in Sectis. Barlæus.—Hoc autem nomen à colle, Marti sacro, acceperunt; ibi enim causæ agebantur. Collis autem Ἄρειος dicitur vel quòd Amazones Martis filiæ, cum Athenas obsiderent, hoc in loco castra metirentur, et Marti sacra facerent. Vid. Æschyl. Eumen.—vel quòd Mars Halirrothoo Neptuni filio propter filiam Alcippen ob illo vitiatam interfecto, eo in colle homicidii reus fuerit, et judicantibus duodecim Diis, sex eorum sententiis absolutus. Vid. Pausaniam de rebus Atticis.

οὗτος

ἔτος δὲ παρ' ἐμοῦ ἀγρὸν ὅλον λαβὼν, καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα, μισθὸν τοῦ ἐπαίνου, ὁπότε ἄσαντά με, πάντων σιωπώντων, μόνος ὑπερεπήνεσεν, ἐπομοσάμενος ᾠδικώτερον εἶναι τῶν κύκνων, ἐπειδὰν νοσοῦντα πρώην εἶδέ με, καὶ προσῆλθον ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινε.

47. ΦΙ. Ὢ τῆς ἀναισχυντίας! Νῦν Τίμωνα γνωρίζετε; νῦν Γναθωνίδης φίλος καὶ συμπότης; τοιγαροῦν δίκαια πέπονθεν οὗτος ἀχάριστος ὤν. Ἡμεῖς δὲ οἱ πάλαι ξυνήθεις καὶ ξυνέφηβοι, καὶ δημόται, ὅμως μετριάζομεν, ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. Χαῖρε, ὦ δέσποτα· καὶ ὅπως τοὺς μιαροὺς τούτους κόλακας [7] φυλάξῃ, τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ κοράκων οὐδὲν διαφέροντας· οὐκ ἔτι [8] πιστευτέα τῶν νῦν οὐδενί· πάντες ἀχάριστοι, καὶ πονηροί. Ἐγὼ δὲ τάλαντόν σοι κομίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ' ὁδὸν ἤδη πλησίον ἤκουσα ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον. Ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων· καίτοι σύ γε οὕτω σοφὸς ὢν, οὐδὲν ἴσως δεήσῃ τῶν παρ' ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι τὸ δέον παραινέσειας ἄν. ΤΙ. Ἔσται ταῦτα, ὦ Φιλιάδη. Πλὴν ἀλλὰ πρόσιθι, ὡς καὶ σὲ φιλοφρονήσομαι τῇ δικέλλῃ. ΦΙ.

7 Φυλάξῃ] Subaud. ὅρα vel μελέτω σοι ὅπως. Barl.

8 Πιστευτέα] Atticum est pro πιστευτέον, plural. pro singulari. Barlæus.

Ἄνθρωποι,

Ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου, διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν.

48. ΤΙ. Ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται, ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ καὶ συγγενὴς ἡμέτερος εἶναι λέγων. Οὗτος ἑκκαίδεκα παρ' ἐμοῦ τάλαντα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει, καταδεδίκαστο γάρ, καὶ ἐδέδετο, οὐκ ἀποδιδούς, κἀγὼ ἐλεήσας, ἐλυσάμην αὐτόν· ἐπειδὴ πρώην ἔλαχε τῇ Αἰγηίδι φυλῇ διανέμειν [9] τὸ θεωρικὸν, κἀγὼ προσῆλθον αἰτῶν [0] τὸ γιγνόμενον, οὐκ ἔφη γνωρίζειν πολίτην ὄντα με.

49. ΔΗ. Χαῖρε, ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλημα τῆς Ἑλλάδος· καὶ μὴν πάλαι σε ὁ δῆμος ξυνειλεγμένος, καὶ αἱ [1] βουλαὶ ἀμφότεραι περιμένουσι. Πρότερον δὲ ἄκουσον τὸ ψήφισμα, ὃ ὑπὲρ σοῦ γέγραφα. Ἐπειδὴ Τίμων ὁ Ἐχεκρατίδου Κολυττεὺς, ἀνὴρ οὐ μόνον καλὸς κἀγαθὸς, ἀλλὰ καὶ σοφὸς, ὡς οὐκ ἄλλος ἐν τῇ Ἑλλάδι, παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράττων τῇ

9 Τὸ Θεωρικὸν] Propriè sic dicebatur pecunia, quæ pauperibus è publico ad emendam in theatro sedem erogabatur. Barl. De hâc pecun. vid. Demosth. Olynth. α'.

0 Τὸ γιγνόμενον] Subaud. μέρος, *ratam partem, quæ alicunde provenit.* Barl.

1 Βουλαὶ ἀμφότεραι] Ἡ βουλὴ scilicet τῶν πεντακοσίων quorum erat omnia ad examen revocare priùs, quàm populo proponerentur; Areopagitæ, qui ἡ ἄνω βουλὴ dicebantur.

πόλει

πόλει· νενίκηκε δὲ πὺξ, καὶ πάλην, καὶ δρόμον ἐν Ὀλυμπίᾳ μιᾶς ἡμέρας [2] τελείῳ ἅρματι, καὶ συνωρίδι πωλικῇ. (ΤΙ. Ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς Ὀλυμπίαν. ΔΗ. Τί οὖν; θεωρήσεις ὕστερον, τὰ τοιαῦτα δὲ πολλὰ προσκεῖσθαι ἄμεινον.) Καὶ ἠρίστευσε δὲ ὑπὲρ τῆς πόλεως πέρυσι πρὸς Ἀχαρνέας, καὶ [3] κατέκοψε Πελοποννησίων [4] δύο μοίρας.—

50. (ΤΙ. Πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα, οὐδὲ προεγράφην ἐν τῷ καταλόγῳ. ΔΗ. Μέτρια τὰ περὶ σαυτοῦ λέγεις· ἡμεῖς ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες.) Ἔτι δὲ καὶ ψηφίσματα γράφων, καὶ συμβουλεύων, καὶ στρατηγῶν, οὐ μικρὰ ὠφέλησε τὴν πόλιν· Ἐπὶ τούτοις ἅπασι δέδοκται τῇ βουλῇ, καὶ τῷ δήμῳ, καὶ [5] τῇ Ἡλιαίᾳ

2 Τελείῳ ἅρματι] Cùm duodecies circa metam currus flectebatur, πωλικῷ verò cùm octies tantùm. Tan. Fab.

3 Κατέκοψε Πελοποννησίων] Belli Peloponnesiaci, cujus hic meminit Demeas, contra Athenienses origo cœpit ex occasione trium meretricum, ut refert Thucydides. Erat autem Acharnæ civitas Græciæ in Atticâ regione totius ejus tractûs potentissima. Bart.

4 Δύο μοίρας] Mille armatos. Nam τὴν μοῖραν ἀναπληροῦσιν ἄνδρες πεντακόσιοι. Tan. Fab.

5 Τῇ Ἡλιαίᾳ] Erat Heliæa maximum Athenis tribunal. In quo publica judicia tractabantur à mille quingentis primæ notæ civibus. Nomen accepit ab ἥλιος, quòd sub dio esset, et soli exposita. De Heliästis hoc singulare notandum, quòd calculos haberent duûm generum, condemnandi et absolvendi, solidum unum, perforatum alterum. Interpres tamen orationis κατὰ Τιμοκράτους loco calculorum fabis usos fuisse scribit, nigris

κατὰ φυλὰς, καὶ τοῖς δήμοις ἰδίᾳ, καὶ κοινῇ πᾶσι, χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει, κεραυνὸν ἐν τῇ δεξιᾷ ἔχοντα, καὶ ἀκτῖνας ἐπὶ τῇ κεφαλῇ· καὶ στεφανῶσαι αὐτὸν χρυσοῖς στεφάνοις ἑπτὰ· καὶ ἀνακηρυχθῆναι τοὺς στεφάνους τήμερον Διονυσίοις τραγῳδοῖς καινοῖς· ἀχθῆναι γὰρ δι' αὐτὸν δεῖ τήμερον τὰ Διονύσια. Εἶπε τὴν γνώμην Δημέας ὁ ῥήτωρ συγγενὴς αὐτοῦ, ἀγχιστεὺς καὶ μαθητὴς αὐτοῦ ὤν. Καὶ γὰρ ῥήτωρ ἄριστος ὁ Τίμων, καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν ἐθέλοι.

51. Τουτὶ μὲν οὖν σοι τὸ ψήφισμα. Ἐγὼ δέ σοι καὶ τὸν υἱὸν ἐβουλόμην ἀγαγεῖν παρὰ σὲ, ὃν ἐπὶ τῷ σῷ ὀνόματι Τίμωνα ὠνόμακα. ΤΙ. Πῶς, ὦ Δημέα, ὃς οὐδὲ γεγάμηκας, ὅσα γε καὶ ἡμᾶς [6] εἰδέναι; ΔΗ. Ἀλλὰ [7] γαμῶ, ἢν διδῷ Θεὸς, ἐς νέωτα, καὶ παιδοποιήσομαι· καὶ τὸ γεννηθησόμενον (ἄῤῥεν γὰρ ἔσται) Τίμωνα ἤδη καλῶ. ΤΙ. Οὐκ οἶδα εἰ γαμήσεις ἔτι, ὦ οὗτος, τηλικαύτην παρ' ἐμοῦ πληγὴν λαμβάνων. ΔΗ. Οἴμοι. Τί τοῦτο; τυραννίδι, Τίμων, ἐπιχειρεῖς,

et albis, ut differrent: Quo spectare putatur illud Pythagoræ monitum, *à fabis abstinete*; quasi per fabarum abstinentiam non leguminis illius usum interdixerit, sed significârit ei, qui velit in pace degere, et fortunæ ictibus non subjici, ambitiosè magistratus et dignitates non esse appetendas. Barl.

6 Εἰδέναι;] Supp. Ἔξεστι vel συμβαίνει.

7 Γαμῶ] Pro γαμήσω. Barl.

καὶ

καὶ τύπτεις τοὺς ἐλευθέρους, [8] οὐ καθαρῶς ἐλεύθερος, οὐδ' ἀστὸς ὤν; ἀλλὰ δώσεις ἐν τάχει τὴν δίκην, τά τε ἄλλα, καὶ ὅτι τὴν ἀκρόπολιν ἐνέπρησας.

62. ΤΙ. Ἀλλ' οὐκ ἐμπέπρησται, ὦ μιαρὲ, ἡ ἀκρόπολις· ὥστε δῆλος εἶ συκοφαντῶν. ΔΗ. Ἀλλὰ καὶ πλουτεῖς, τὸν [9] ὀπισθόδομον διορύξας. ΤΙ. Οὐ διώρυκται οὐδὲ οὗτος· ὥστε ἀπίθανά σου καὶ ταῦτα. ΔΗ. Διορυχθήσεται μὲν ὕστερον. Ἤδη δὲ σὺ πάντα τὰ ἐν αὐτῷ ἔχεις. ΤΙ. Οὐκοῦν καὶ [o] ἄλλην λάμβανε. ΔΗ. Οἴμοι τὸ μετάφρενον. ΤΙ. Μὴ κέκραχθι· κατοίσω γάρ σοι καὶ τρίτην· ἐπεὶ καὶ γελοῖα πάμπαν πάθοιμι, δύο μὲν Λακεδαιμονίων μοίρας κατακόψας ἄνοπλος, ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας· μάτην γὰρ ἂν εἴην καὶ νενικηκὼς Ὀλύμπια πὺξ, καὶ πάλην.

53. Ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος· ἐκπετάσας γοῦν τὸν πώγωνα,

8 Οὐ καθαρῶς ἐλεύθερος] Ἐλεύθεροι sunt ingenui, qui in genere libertatem habent, non in facto, sic ut liberti. Οὐ καθαρῶς ἐλεύθερος est, qui non meram habet libertatem, sed mixtam, ut qui servo vel servâ natus est: nec purè civis intelligitur, qui merè civis non esset Atheniensis, sed Hybrida, hoc est, patre Atheniensi natus, matre peregrinâ, aut vice verâ. Barlæus.

9 Ὀπισθόδομον] Ὀπισθόδομος locus erat ὀπίσω τοῦ νεὼ τῆς καλουμένης Πολιάδος, ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον. Bourdelotius.

o Ἄλλην] Sub. πληγήν.

γωνα,

γωνα, καὶ τὰς ὀφρῦς ἀνατείνας, καὶ βρενθυόμενός τι πρὸς αὐτὸν, ἔρχεται, τιτανῶδες βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, Αὐτοβορέας τις, ἢ Τρίτων, οἵες ὁ Ζεῦξις ἔγραφεν. Οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς, καὶ κόσμιος τὸ βάδισμα, καὶ σωφρονικὸς τὴν ἀναβολὴν, ἕωθεν [1] μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν, καὶ τῶν ἡδονῇ χαιρόντων κατηγορῶν, καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν, ἐπειδὴ λϐσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον, καὶ ὁ παῖς μεγάλην τὴν κύλικα ὀρέξειεν αὐτῷ, (τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα) καθάπερ τὸ Λήθης ὕδωρ ἐκπιὼν, ἐναντιώτατα ἐπιδείκνυται τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις, προαρπάζων, ὥσπερ ἰκτῖνος, τὰ ὄψα, καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορϐμενος ἐπικεκυφὼς, καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μηδὲ ὀλίγον τϐ μυττωτϐ καταλίποι·

54. Μεμψίμοιρος ἀεὶ ὡς τὸν πλακϐντα ὅλον, ἢ τὸν σῦν μόνος τῶν ἄλλων λάβοι· ὅτι περ λιχνείας καὶ ἀπληστίας ὄφελος, μέθυσος, καὶ πάροινος, ϐκ ἄχρις ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας, καὶ ὀργῆς προσέτι. Καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι,

[1] Μυρία ὅσα] Ὅσοι et ὅσα interdum παρέλκουσιν, nec nisi ornatûs causâ adhibentur, ut μυρίοι ὅσοι, infiniti; πλεῖστα ὅσα, plurima. Vid. Vig.

τότε

τότε δὴ καὶ μάλιστα περὶ σωφροσύνης καὶ κοσμιότητος· καὶ ταῦτά φησιν ἤδη ὑπὸ τοῦ ἀκράτου πονήρως ἔχων, καὶ ὑποτραυλίζων γελοῖος· εἶτα ἔμετος ἐπὶ τούτοις· καὶ τὸ τελευταῖον, ἀράμενοί τινες ἐκφέρουσιν αὐτὸν ἐκ τοῦ συμποσίου τῆς αὐλητρίδος ἀμφοτέραις ἐπειλημμένον. Πλὴν ἀλλὰ καὶ νήφων, οὐδενὶ τῶν πρωτείων παραχωρήσειεν ἂν ψεύσματος ἕνεκα, ἢ θρασύτητος, ἢ φιλαργυρίας. Ἀλλὰ καὶ κολάκων ἐστὶ τὰ πρῶτα, καὶ ἐπιορκεῖ προχειρότατα, καὶ ἡ γοητεία προηγεῖται, καὶ ἡ αναισχυντία παρομαρτεῖ· καὶ ὅλως [2] πάνσοφόν τι χρῆμα, καὶ πανταχόθεν ἀκριβὲς, καὶ ποικίλως ἐντελές· οἰμώξεται τοιγαροῦν οὐκ εἰς μακρὰν χρηστὸς ὤν. Τί τοῦτο; παπαί. Χρόνιος ἡμῖν Θρασυκλῆς.

55. ΘΡΑΣΥ. Οὐ κατὰ ταυτὰ, ὦ Τίμων, τοῖς πολλοῖς τούτοις ἀφῖγμαι, ὥσπερ οἱ τὸν πλοῦτόν σου τεθηπότες, ἀργυρίου, καὶ χρυσοῦ, καὶ δείπνων πολυτελῶν ἐλπίδι συνδεδραμήκασι, πολλὴν τὴν κολακείαν ἐπιδειξόμενοι πρὸς ἄνδρα, οἷόν σε ἁπλοϊκὸν, καὶ τῶν ὄντων κοινωνικόν. Οἶσθα γὰρ ὡς μάζα μὲν ἐμοὶ δεῖπνον ἱκανὸν, ὄψον δὲ ἥδιστον θύμον, ἢ κάρδαμον, ἢ

2 Πάνσοφόν τι χρῆμα.] Τὸ χρῆμα in admiratione ponitur, et excellentiam quandam denotat (tam in malam, quàm in bonam partem) quæ per superlativum *(adjectivi, quod ab eo pendet)* commodè Latinis significatur. Ita Xenoph. de Cyro. Καταβάλλει τὴν ἔλαφον καλόν τι χρῆμα καὶ μέγα, *cervum jaculo sternit longè pulcherrimum et maximum.* Bourd.——

εἰ

εἴ ποτε τρυφῴην, ὀλίγον τῶν ἁλῶν· ποτὸν δὲ ἡ [3] Ἐννεάκρουνος· ὁ δὲ τρίβων οὗτος ἧς βούλει πορφυρίδος ἀμείνων. Τὸ χρυσίον μὲν γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ. [4] Σοῦ δὲ αὐτοῦ χάριν ἐστάλην, ὡς μὴ διαφθείρῃ σε τὸ κάκιστον τοῦτο καὶ ἐπιβουλότατον κτῆμα ὁ πλοῦτος, ὁ πολλοῖς πολλάκις αἴτιος ἀνηκέστων συμφορῶν γεγενημένος. Εἰ γάρ μοι πείθοιο, μάλιστα ὅλον εἰς τὴν θάλατταν ἐμβαλεῖς αὐτὸν, οὐδὲν ἀναγκαῖον ἀνδρὶ ἀγαθῷ ὄντα, καὶ τὸν φιλοσοφίας πλοῦτον ὁρᾷν δυναμένῳ. Μὴ μέντοι ἐς βάθος, ὦ 'γαθέ, ἀλλ' ὅσον ἐς βουβῶνας ἐπεμβὰς, ὀλίγον πρὸ τῆς κυμαντώδους γῆς, ἐμοῦ ὁρῶντος μόνου.

56. Εἰ δὲ μὴ τοῦτο βούλει, σὺ δὲ ἄλλον τρόπον ἀμείνω κατὰ τάχος ἐκφόρησον αὐτὸν ἐκ τῆς οἰκίας· καὶ μηδ' ὀβολὸν αὐτῷ ἀνῇς, διαδιδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν πέντε δραχμὰς, ᾧ δὲ μνᾶν, ᾧ δὲ τάλαντον. Εἰ δέ τις φιλόσοφος εἴη, διμοιρίαν ἢ τριμοιρίαν φέρεσθαι δίκαιος· ἐμοὶ δὲ καίτοι οὐκ ἐμαυτοῦ χάριν αἰτῶ, ἀλλ' ὅπως μεταδῶ τῶν ἑταίρων τοῖς δεομένοις, ἱκανὸν, εἰ ταύτην τὴν πήραν ἐμπλήσας παράσχοις, οὐδὲ ὅλους δύο [5] μεδίμνους χωροῦσαν Αἰγινητικούς. Ὀλιγαρκῆ δὲ

3 Ἐννεάκρουνος] Nomen est fontis cujusdam Athenis sic dicti à novem fistulis, è quibus aqua saliebat. Κρουνὸς enim scatebra. Hesychius πηγὴν esse ait, ἣν πρότερον Καλλιῤῥόην ἔλεγον. Barl.

4 Σοῦ δὲ αὐτοῦ χάριν] Pro εἰς vel πρὸς σοῦ αὐτοῦ χάριν.

5 Μεδίμνους χωροῦσαν] Continebat medimnus (quæ mensura erat aridorum) octo et quadraginta chœnicas, sive centum et octo

libras

καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφῦντα, καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν. ΤΙ. Ἐπαινῶ ταῦτά σου, ὦ Θρασύκλεις. Πρὸ γοῦν τῆς πήρας, εἰ δοκεῖ, φέρε σοι τὴν κεφαλὴν ἐμπλήσω κονδύλων, ἐπιμετρήσας τῇ δικέλλῃ. ΘΡΑ. Ὦ δημοκρατία, καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει. ΤΙ. ἀγανακτεῖς, ὦ 'γαθὲ Θρασύκλεις; μῶν παρακέκρουσμαί σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας.

57. Ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται. Βλεψίας ἐκεῖνος, καὶ Λάχης, καὶ Γνίφων, καὶ ὅλως, τὸ σύνταγμα τῶν οἰμωξομένων. Ὥστε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν, τὴν μὲν δίκελλαν ὀλίγον ἀναπαύω πάλαι πεπονηκυῖαν, αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας, ἐπιχαλαζῶ πόῤῥωθεν αὐτούς; ΒΛ. Μὴ βάλλε, ὦ Τίμων· ἄπιμεν γάρ. ΤΙ. Ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς, οὐδὲ ἄνευ τραυμάτων.

libras, teste Polluce. Ægineticus autem dicitur ab Æginâ insulâ et urbe circa Peloponnesum, quæ maris aliquando imperium obtinuit, et bello Persico in navali certamine cum Atheniensibus de palmâ certavit, ut refert Strabo. lib. 8. Unde et de mercibus, mensurisque Ægineticis crebra mentio apud Græcos Scriptores. Barlæus.

Dialog.



DIALOG. XX.

ΒΙΩΝ ΠΡΑΣΙΣ.

ΖΕΥΣ.

Σὺ μὲν διατίθει τὰ βάθρα, καὶ παρασκεύαζε τὸν τόπον τοῖς ἀφικνουμένοις· σὺ δὲ στῆσον ἑξῆς παραγαγὼν τοὺς βίους· ἀλλὰ κοσμήσας πρότερον, ὡς εὐπρόσωποι φανοῦνται, καὶ ὅτι πλείστους ἐπάξονται. Σὺ δὲ, ὦ Ἑρμῆ, κήρυττε, καὶ συγκάλει ἀγαθῇ τύχῃ τοὺς ὠνητὰς ἤδη παρεῖναι πρὸς τὸ πωλητήριον. Ἀποκηρύξομεν δὲ βίους φιλοσόφους παντὸς εἴδους, καὶ προαιρέσεων ποικίλων. Εἰ δέ τις οὐκ ἔχει τὸ παραυτίκα τἀργύριον καταβαλέσθαι, εἰς νέωτα ἐκτίσει, καταστήσας ἐγγυητήν. ΕΡ. Πολλοὶ συνίασιν· ὥστε χρὴ μὴ διατρίβειν, μηδὲ κατέχειν αὐτούς. Ζ. Πωλῶμεν οὖν.

2. ΕΡ. Τίνα θέλεις πρῶτον παραγάγωμεν; Ζ. Τουτονὶ τὸν κομήτην, [6] τὸν Ἰωνικὸν, ἐπεὶ καὶ σεμνός τις εἶναι φαίνεται. ΕΡ. Οὗτος ὁ Πυθαγορικὸς, κατά-

6 Τὸν Ἰωνικὸν] Nomen Patrium ἀπὸ τῆς Ἰωνίας: nam Samos, ubi natus Pythagoras, insula est in *Mari* quod à proximâ terrâ dicitur *Ionium*; atque hinc est etiam quòd Pythagoras usus sit *Jonicâ* Dialecto. Leeds.

βηθι,

βῆθι, καὶ πάρεχε σαυτὸν ἀναθεωρεῖν τοῖς συνειλεγμένοις. Ζ. Κήρυττε δή. ΕΡ. Τὸν ἄριστον βίον πωλῶ, τὸν σεμνότατον, τίς ὠνήσεται; [7] τίς ὑπὲρ ἄνθρωπον εἶναι βούλεται; τίς εἰδέναι [8] τὴν τοῦ παντὸς ἁρμονίαν, [9] καὶ ἀναβιῶναι πάλιν; ΑΓΟ. Τὸ μὲν εἶδος οὐκ ἀγεννής. τί τε μάλιστα οἶδεν; ΕΡ. [10] Ἀριθμητικὴν, ἀστρονομίαν, τερατείαν, γεωμετρίαν, μουσικὴν, γοητείαν· μάντιν ἄκρον βλέπεις. ΑΓΟ. Ἔξεστιν αὐτὸν ἀνακρίνειν; ΕΡ. Ἀνάκρινε ἀγαθῇ τύχῃ.

3. ΑΓΟ. Ποδαπὸς εἶ σύ; ΠΥΘΑ. Σάμιος. ΑΓΟ. Ποῦ δὲ ἐπαιδεύθης; ΠΥΘΑ. [1] Ἐν Αἰγύπτῳ, παρὰ τοῖς ἐκεῖ σοφοῖς. ΑΓΟ. Φέρε δὴ, ἢν πρίωμαί σε, τί με διδάξεις; ΠΥ. Διδάξω μὲν οὐδὲν, [2] ἀναμνήσω

7 Τὶς ὑπὲρ ἄνθρωπον] Pythagoram divino coli honore à nonnullis, credi esse Apollinem, aut quendam è Geniis qui Lunam habitant, et cum Deus reverâ esset, venisse in humanâ formâ, notum est ex Iamblicho. Leeds.

8 Τὴν τοῦ παντὸς ἁρμονίαν] Omnia per harmoniam constitisse docuit Pythagoras. Vid. Iamblich. et Diog. Laertium.

9 Ἀναβιῶναι πάλιν] In alio scilicet corpore, nam migrationem è corpore in corpus, quam Græci vocant μετεμψύχωσιν, vel potiùs μετασωμάτωσιν, esse Pythagoræ doctrinam, res vel lippis nota. Leeds.

10 Ἀριθμητικὸν, &c.] Summum in his fuisse Pythagoram notavit in vitâ ejus Iamblichus. Leeds.

1 Ἐν Αἰγύπτῳ] Vid. Iamblic. De vitâ Pythagoræ c. 4.

2 Ἀναμνήσω δὲ] Hic deridetur eorum sententia, qui μάθησιν tantùm ἀνάμνησιν esse putant; earum scilicet rerum, quas, ut nonnulli

δέ. ΑΓΟ. πῶς ἀναμνήσεις; ΠΥ. Καθαρὰν πρότερον τὴν ψυχὴν ἐργασάμενος, καὶ τὸν ἐπ' αὐτῇ ῥύπον ἐκκλύσας. ΑΓΟ. Καὶ δὴ νόμισον ἤδη κεκαθάρθαι με· τίς ὁ τρόπος τῆς ἀναμνήσεως; ΠΥ. Τὸ μὲν πρῶτον, ἡσυχίη μακρὴ καὶ ἀφωνίη, καὶ [3] πένλε ὅλων ἐτέων λαλέειν μηδέν. ΑΓΟ. Ὥρα σοι, ὦ βέλτιστε, [4] τὸν Κροίσου παῖδα παιδεύειν· ἐγὼ γὰρ λάλος, οὐκ ἀνδριὰς εἶναι βούλομαι. Τί δὲ μετὰ τὴν [5] σιωπὴν, ὅμως καὶ τὴν πενταετίαν; ΠΥ. Μουσουργίῃ, καὶ γεωμετρίῃ ἐνασκήσεαι· ΑΓΟ. Χαρίεν λέγεις, εἰ πρότερον κιθαρῳδὸν γενόμενον, κᾆτα εἶναι σοφὸν χρή.

4. ΠΥ. Εἶτ' ἐπὶ τουτέοισιν, ἀριθμέειν. ΑΓΟ. οἶδα καὶ νῦν ἀριθμεῖν. ΠΥ. Πῶς ἀριθμέεις; ΑΓΟ. ἓν, δύο, τρία, τέτλαρα. ΠΥ. Ὁρᾷς, ἃ σὺ δοκέεις τέτταρα, ταῦτα δέκα εἰσὶ, καὶ [6] τρίγωνον ἐνλελὲς, καὶ

nonnulli opinati sunt, antequam ullum ingressa est corpus, norit anima aut, quemadmodum sensit Pythagoras, dum in alio vixit corpore, educta fuit. Leeds.

3 Πένλε ὅλων, &c.] Vid. Diog. Laert. lib. 8. et A. Gell. lib. 1. c. IX.

4 Τὸν Κροίσου παῖδα] De quo Herod. lib. 1.

5 Σιωπὴν καὶ πενλαετίαν] *Silentium et quinquennium*, ἓν διὰ δυοῖν, pro σιωπὴν πενλαετῆ, *silentium quinquenne*, seu *quinquennale*. Leeds.

6 Τρίγωνον ἐνλελὲς,] Quod vocat hoc loco τρίγωνον ἐντελὲς *triangulum perfectum*, nihil aliud est quàm *triangulum æquilaterum*. Num numerorum trigonismus sic procedit ab unitate, 1. 2. 3. 4. 5. 6. 7.

et sic ad infinitum hoc modo. . . . decem numerus sic positus

[7] ἡμέτερον ὅρκιον; ΑΓΟ. Οὐ μὰ τὰν μέγιστον τοίνυν ὅρκον τὰ τέτταρα, ἐ πῶς θειοτέρους λόγους ἤκουσα, οὐδὲ μᾶλλον ἱερούς. ΠΥ. Μετὰ δὲ, ὦ ξεῖνε, εἴσεαι γῆς τε πέρι, καὶ ἠέρος, καὶ ὕδατος, καὶ πυρὸς, ἥτις αὐτέοισιν ἡ φορὴ, καὶ ὁκοῖα ἐόντα μορφὴν, καὶ ὅκως κινέονται. ΑΓΟ. Μορφὴν γὰρ ἔχει τὸ πῦρ, ἢ ἀὴρ, ἢ ὕδωρ; ΠΥ. Καὶ μάλα ἐμφανέα. Οὐ γὰρ οἷά τε ἀμορφίῃ καὶ ἀσχημοσύνῃ κινέεσθαι. Καὶ ἐπὶ τούτέοισι δὲ, γνώσεαι [8] τὸν Θεὸν ἀριθμὸν ἐόντα, καὶ ἁρμονίην. ΑΓΟ. Θαυμάσια λέγεις.

5. ΠΥ. Πρὸς δὲ τοῖσδεσι τοῖσιν εἰρημένοισι, καὶ σεωϋτὸν ἕνα δοκέοντα, καὶ ἄλλον ὁρεόμενον, καὶ ἄλλον ἐόντα εἴσεαι. ΑΓΟ. Τί φῄς; ἄλλος εἰμι, καὶ οὐχ οὗτος, ὅσπερ νῦν πρὸς σὲ διαλέγομαι; ΠΥ. Νῦν μὲν οὗτος, πάλαι δὲ ἐν ἄλλῳ σώματι, καὶ ἐν ἄλλῳ ὀνόματι [9] ἐφαντάζεο. Χρόνῳ δὲ αὖθις, ἐς ἄλλο μεταβήσεαι. ΑΓΟ. Τοῦτο φῄς ἀθάνατον ἔσεσθαί με ἀλλαττόμενον ἐς μορφὰς πλείονας; ἀλλὰ τάδε μὲν ἱκανῶς.

situs efficit triangulum æquilaterum arithmeticè, cujus latera sunt quatuor. Palmerius.

7 Ἡμέτερον ὅρκιον] Per quaternarium numerum jurare consueverant Pythagorei, *decem* scilicet valentem, quo quidem contineri omnia putabant. Vid. Brod. Misc.

8 Τὸν Θεὸν ἀριθμὸν, &c.] Id dixisse Pythagoram testatur in vitâ ejus Diogenes Laertius. Leeds.

9 Ἐφαντάζεο] Proprium est Ionum ut contractiones fugere, ita et diphthongos dissolvere. Leeds.

Θ. Τὰ δ' ἀμφὶ δίαιταν, ὁποῖός τις εἶ; ΠΥ. Ψυχήϊον μὲν ἐδὲ ἕν τι σιτέομαι· τὰ δ' ἄλλα, πλὴν κυάμων. ΑΓΟ. Τίνος εἵνεκα μυσάττῃ τὲς κυάμες; ΠΥ. Οὐκ· ἀλλ' ἱεροί εἰσι, καὶ θαυμαστὴ αὐτῶν ἡ φύσις. Τὸ δὲ μεῖζον, Ἀθηναίοισι νόμος κυάμοισι τὰς ἀρχὰς αἱρέεσθαι. ΑΓΟ. Καλῶς πάντα ἔφης, καὶ ἱεροπρεπῶς. Ἀλλ' ἀπόδυθι, καὶ γυμνόν γάρ σε ἰδεῖν βέλομαι. Ὦ Ἡράκλεις! [1] χρυσῦς αὐτῷ ὁ μηρός ἐστι. Θεὸς, ἐ βροτός τις εἶναι φαίνεται· ὥστε ὠνήσομαι πάντως αὐτόν. Πόσε τῦτον ἀποκηρύττεις; ΕΡ. Δέκα μνῶν. ΑΓΟ. Ἔγω, τοσέτε λαβών. Ζ. Γράφε τῦ ὠνησαμένε τἔνομα, καὶ ὅθεν ἐστίν. ΕΡ. Ἰταλιώτης, ὦ Ζεῦ, δοκεῖ τις εἶναι, [2] τῶν ἀμφὶ Κρότωνα, καὶ Τάραντα, [3] καὶ τὴν ταύτῃ Ἑλλάδα. Καίτοι ἐχ εἷς, ἀλλὰ τριακόσιοι σχεδὸν ἐώνηνται κατὰ κοινὸν αὐτόν. Ζ. Ἀπαγέτωσαν. Ἄλλον παραγάγωμεν.

o Ψυχήϊον μὲν, &c.] Sunt qui illud μετεμψυχώσεως dogma in causâ fuisse existiment, cur Pythagorei carnibus abstinerent, nempe ne ignari forte comederent parentes, avos, aliosve consanguineos. Vid. Ov. Met. lib. xv.

1 Χρυσῦς αὐτῷ, &c.] Vid. p. 52 n. 5.

2 Τῶν ἀμφὶ Κρότωνα] Magnus inter Croloniatas et Tarentinos habitus erat Pythagoras, quibuscum et vixit, et leges tulit. Vid Diog Laert. Leeds.

3 Καὶ τὴν ταύτῃ Ἑλλάδα] Integrè, ἐν ταύτῃ χώρᾳ—Pars Italiæ olim vocabatur Magna Græcia;

Itala nam Tellus Græcia Major erat.

Ovid. Fast. lib. 4. v. 64. Leeds.

7. ΕΡ. Βούλει τὸν αὐχμῶντα ἐκεῖνον, τὸν Ποντικόν; Ζ. Πάνυ μὲν οὖν. ΕΡ. Οὗτος, ὁ τὴν πήραν ἐξηρτημένος, ὁ ἐξωμίας, ἐλθὲ καὶ περίιθι ἐν κύκλῳ τὸ συνέδριον. Βίον ἀνδρικὸν πωλῶ, βίον ἄριστον, καὶ γεννικὸν, βίον ἐλεύθερον· τίς ὠνήσεται; ΑΓΟ. Ὁ κήρυξ πῶς ἔφης; πωλεῖς τὸν ἐλεύθερον; ΕΡ. Ἔγωγε. ΑΓΟ. Εἶτα οὐ δέδιας μή σοι δικάσηται ἀνδραποδισμοῦ, ἢ καὶ προκαλέσηταί σε ἐς Ἄρειον πάγον; ΕΡ. Οὐδὲν αὐτῷ μέλει τῆς πράσεως· οἴεται γὰρ εἶναι παντάπασιν ἐλευθέρος. ΑΓΟ. Τί δ' ἄν τίς αὐτῷ χρήσαιτο, ῥυπῶντι, καὶ οὕτω κακοδαιμόνως διακειμένῳ; πλὴν εἰ μὴ σκαπανέα γε καὶ ὑδροφόρον αὐτὸν ἀποδεικτέον. ΕΡ. Οὐ μόνον, ἀλλὰ καὶ ἢν θυρωρεῖν αὐτὸν ἐπιστήσῃς, πολὺ πιστοτέρῳ χρήσῃ τῶν κυνῶν· ἀμέλει, κύων αὐτῷ καὶ τοὔνομα. ΑΓΟ. Ποδαπὸς δέ ἐστι, καὶ τίνα τὴν ἄσκησιν ἐπαγγέλλεται; ΕΡ. Αὐτὸν ἐροῦ· κάλλιστον γὰρ οὕτω ποιεῖν. ΑΓΟ. Δέδια τὸ σκυθρωπὸν αὐτοῦ, καὶ κατηφὲς, μή με ὑλακτήσῃ προσελθόντα, ἢ καὶ νὴ Δία δάκῃ γε· οὐχ ὁρᾷς ὡς διῆρκε τὸ ξύλον, καὶ συνέσπακε τὰς ὀφρῦς, καὶ ἀπειλητικόν τι καὶ χολῶδες ὑποβλέπει; ΕΡ. Μὴ δέδιθι· τιθασσὸς γάρ ἐστι.

8. ΑΓΟ. Τὸ πρῶτον, ὦ βέλτιστε, ποδαπὸς εἶ; Διογένης. Παντοδαπός. ΑΓΟ. Πῶς λέγεις; ΔΙΟ. Τοῦ κόσμου πολίτην ὁρᾷς. ΑΓΟ. Ζηλοῖς δὲ τίνα; ΔΙΟ. Τὸν Ἡρακλέα. ΑΓΟ. Τί οὖν οὐχὶ καὶ λεοντῆν ἀμπέχῃ;

ἀμπέχῃ; τὸ μὲν γὰρ ξύλον, ἔοικας αὐτῷ. ΔΙΟ. Τουτί μοι λεοντῆ τὸ τριβώνιον· στρατεύομαι δὲ ὥσπερ ἐκεῖνος ἐπὶ τὰς ἡδονὰς, [4] οὐ κελευστὸς ἀλλ' ἑκούσιος ἐκκαθάραι τὸν βίον προαιρούμενος. ΑΓΟ. Εὖγε τῆς προαιρέσεως. Ἀλλὰ τί μάλιστα εἰδέναι σὲ φῶμεν; ἢ τίνα τὴν τέχνην ἔχεις; ΔΙΟ. Ἐλευθερωτής εἰμι τῶν ἀνθρώπων, καὶ ἰατρὸς τῶν παθῶν. Τὸ δ' ὅλον, Ἀληθείας καὶ Παῤῥησίας προφήτης εἶναι βούλομαι.

9. ΑΓΟ. Ἄγε, ὦ προφῆτα, ἢν δὲ πρίωμαί σε, τίνα με τὸν τρόπον διασκήσεις; ΔΙΟ. Πρῶτον μὲν παραλαβών σε, καὶ ἀποδύσας τὴν τρυφὴν, καὶ ἀπορίᾳ συγκατακλείσας, τριβώνιον περιβαλῶ· μετὰ δὲ, πονεῖν καὶ κάμνειν καταναγκάσω, χαμαὶ καθεύδοντα, καὶ ὕδωρ πίνοντα, καὶ ὧν ἔτυχε πιμπλάμενον. [5] Τὰ δὲ χρήματα ἢν ἔχῃς, ἐμοὶ πειθόμενος, ἐς τὴν θάλατταν φέρων ἐμβαλεῖς· [6] γάμου δ' ἀμελήσεις, καὶ παίδων, καὶ πατρίδος· καὶ πάντα σοι λῆρος ἔσται. Καὶ τὴν πατρῴαν οἰκίαν ἀπολιπὼν, ἢ τάφον οἰκήσεις, ἢ πυργίον ἔρημον, ἢ καὶ πίθον. Ἡ πήρα δέ σοι θέρμων ἔσται μεστὴ

4 Οὐ κελευστὸς] Jussus enim ab Eurystheo Hercules duodecim confecit labores. Vid. Apoll. lib. 2. erat autem Eurystheus Rex Mycenarum. Leeds.

5 Τὰ δὲ χρήματα] De contemptu quo divitias et cætera id genus prosecuti sunt, Vid. Voss. de See. Phil. c. XVIII.

6 Γάμου δ' ἀμελήσεις] Vid. Diog. Laert. lib. 6. Segm. 70.

καὶ

καὶ [7] ὀπισθογράφων βιβλίων· καὶ οὕτως ἔχων, εὐδαιμονέστερος εἶναι φήσεις τοῦ μεγάλου βασιλέως· ἢν μαστιγοῖ δέ τις, ἢ στρεβλοῖ, τούτων οὐδὲν ἀνιαρὸν ἡγήσῃ. ΑΓΟ. Πῶς τοῦτο φῂς, τὸ μὴ ἀλγεῖν μαστιγούμενον; οὐ γὰρ χελώνης, ἢ καράβου τὸ δέρμα περιβέβλημαι. ΔΙΟ. [8] Τὸ Εὐριπίδειον ἐκεῖνο ζηλώσεις, μικρὸν ἐναλλάξας. ΑΓΟ. τὸ ποῖον; ΔΙΟ. Ἡ φρήν σοι ἀλγήσει, ἡ δὲ γλῶσσα ἔσται ἀνάλγητος.

10. Ἃ δὲ μάλιστα δεῖ προσεῖναι, ταῦτά ἐστιν· ἰταμὸν χρὴ εἶναι, καὶ θρασὺν, καὶ λοιδορεῖσθαι πᾶσιν ἑξῆς, καὶ βασιλεῦσι, καὶ ἰδιώταις· οὕτω γὰρ ἀποβλέψονταί σε, καὶ ἀνδρεῖον ὑπολήψονται. Βάρβαρος δὲ ἡ φωνὴ ἔσται, καὶ ἀπηχὲς τὸ φθέγμα, καὶ ἀτεχνῶς ὅμοιον κυνί· καὶ πρόσωπον δὲ ἐντεταμένον, καὶ βάδισμα τοιούτῳ προσώπῳ πρέπον· καὶ ὅλως, θηριώδη τὰ πάντα καὶ ἄγρια. Αἰδὼς δὲ, καὶ ἐπιείκεια, καὶ μετριότης ἀπέστω· καὶ τὸ ἐρυθριᾷν ἀπόξυσον τοῦ προσώπου παντελῶς· δίωκε δὲ τὰ πολυανθρωπότατα τῶν χωρίων· καὶ ἐν αὐτοῖς τούτοις μόνος, καὶ ἀκοινώνητος εἶναι θέλε,

7 Ὀπισθογράφων] Ὀπισθόγραφος idem sonat quod *à tergo scriptus*,

——————Summi plenâ jam margine libri
Scriptus et in tergo necdum finitus Orestes. Juv. Sat. I.

8 Τὸ Εὐριπίδειον] Ad carmen, quod in Euripidis Hippolyto exstat, allusum est,

Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

μὴ

μὴ φίλον, μὴ ξένον προσιέμενος· κατάλυσις γὰρ τὰ τοιαῦτα τῆς ἀρχῆς. [9] Ἐν ὄψει δὲ πάντων, ἃ μηδ' ἰδίᾳ ποιήσειεν ἄν τις, θαῤῥῶν ποίει. Καὶ τέλος, ἢν σοι δοκῇ, [o] πολύποδα ὠμὸν, ἢ σηπίαν φαγὼν, ἀπόθανε. Ταύτην σοι τὴν εὐδαιμονίαν προξενοῦμεν.

11. ΑΓΟ. Ἄπαγε. Μιαρὰ γὰρ, καὶ οὐκ ἀνθρώπινα λέγεις. ΔΙΟ. Ἀλλὰ ῥᾶστά γε, ὦ οὗτος, καὶ πᾶσιν εὐχερῆ μετελθεῖν· Οὐ γάρ σοι δεήσει παιδείας, καὶ λόγων, καὶ λήρων· ἀλλ' ἐπίτομος αὕτη σοι πρὸς δόξαν ἡ ὁδός. Καὶ ἰδιώτης γὰρ ἂν ᾖς, ἤτοι σκυλοδέψης, ἢ ταριχοπώλης, ἢ τέκτων, ἢ τραπεζίτης, οὐδέν σε κωλύσει θαυμάσιον εἶναι, ἢν μόνον ἡ ἀναίδεια καὶ τὸ θράσος παρῇ, καὶ λοιδορεῖσθαι καλῶς ἐκμάθῃς. ΑΓΟ. Πρὸς ταῦτα μὲν οὐ δέομαί σου· ναύτης δ' ἂν ἴσως, ἢ κηπωρὸς ἐν καιρῷ γένοιο. Καὶ ταῦτα, ἢν ἐθέλῃ σε ἀποδόσθαι οὑτοσὶ τὸ μέγιστον δύ' ὀβολῶν. ΕΡ. Ἔχε λαβών. Καὶ γὰρ ἄσμενοι ἀπαλλαξόμεθα ἐνοχλοῦντος αὐτοῦ, καὶ βοῶντος καὶ ἅπαντας ἁπαξαπλῶς ὑβρίζοντος, καὶ ἀγορεύοντος κακῶς.

9 Ἐν ὄψει δὲ πάντων, &c.] Vid. Voss. c. 17. quin et Cicero in primo de Officiis——*Cynicorum natio tota ejicienda est. Est enim inimica verecundiæ, sine quâ nihil rectum esse potest, nihil honestum.*

o Πολύποδα ὠμὸν, &c.] Ad Diogenis mortem alludit; Athenæus enim lib. 7. Deipnosoph.——Διογένης ὁ Κύων ὠμὸν πολύποδα καταφαγὼν, ἐπιθυμίας αὐτῷ τῆς γαστρὸς ἀπέθανε.

12. Ζ. Ἄλλον κάλει, [1] τὸν Κυρηναῖον, τὸν ἐν τῇ πορφυρίδι, τὸν ἐστεφανωμένον. ΕΡ. Ἄγε δὴ πρόσεχε πᾶς. Πολυτελὲς τὸ χρῆμα, καὶ πλουσίων δεόμενον. Βίος οὗτος ἡδὺς, βίος τρισμακάριστος· [2] Τίς ἐπιθυμεῖ τρυφῆς; τίς ὠνεῖται τὸν ἁβρότατον; ΑΓΟ. Ἐλθὲ σὺ, καὶ λέγε ἅπερ εἰδὼς τυγχάνεις. Ὠνήσομαι γάρ σε, ἢν ὠφέλιμος ἧς. ΕΡ. Μὴ ἐνόχλει αὐτὸν, ὦ βέλτιστε, μηδ' ἀνάκρινε· μεθύει γὰρ ὥστε οὐκ ἂν ἀποκρίναιτό σοι, τὴν γλῶτταν, ὡς ὁρᾷς, διολισθαίνων. ΑΓΟ. Καὶ τίς ἂν εὖ φρονῶν πρίαιτο διεφθαρμένον οὕτω καὶ ἀκόλαστον ἀνδράποδον; ὅσον δὲ καὶ ἀπόζει μύρων. Ὡς δὲ καὶ σφαλερὸν βαδίζει, καὶ παράφορον. Ἀλλὰ κἂν σὺ, ὦ Ἑρμῆ, λέγε ὁπόσα πρόσεστιν αὐτῷ, καὶ ἃ μετιὼν τυγχάνει. ΕΡ. Τὸ μὲν ὅλον, συμβιῶναι δεξιὸς, καὶ συμπιεῖν ἱκανός. Τἄλλα δὲ, πεμμάτων ἐπιστήμων, καὶ ὀψοποιὸς ἐμπειρότατος· καὶ ὅλως, σοφιστὴς ἡδυπαθείας. Ἐπαιδεύθη μὲν οὖν Ἀθήνησιν· ἐδούλευσε δὲ καὶ περὶ Σικελίαν τοῖς τυράννοις, καὶ σφόδρα ηὐδοκίμει παρ' αὐτοῖς. Τὸ δὲ κεφάλαιον τῆς προαιρέσεως, ἁπάντων καταφρονεῖν, ἅπασι χρῆσθαι, πανταχόθεν ἐρανίζεσθαι τὴν ἡδονήν. ΑΓΟ. Ὥρα σοι ἄλλον περιβλέπειν τῶν πλουσίων τούτων, καὶ πολυχρημάτων.

1 Τὸν Κυρηναῖον] Aristippum, sic dictum à Cyrene Libyæ civitate, ubi natus erat.

2 Ἐπιθυμεῖ τρυφῆς] Cyrenaici summum bonum in *Voluptate* posuerunt, unde hæc Secta ἡδονικὴ dicebatur. V. Voss. c. ix.

Ἐγὼ δὲ οὐκ ἐπιτήδειος ἱλαρὸν ὠνεῖσθαι βίον. ΕΡ. Ἄπρατος ἔοικεν, ὦ Ζεῦ, οὗτος ἡμῖν μένειν.

13. Ζ. Μετάστησον· ἄλλον παράγαγε· μᾶλλον δὲ τὼ δύο τούτω, τὸν γελῶντα, [3] τὸν Ἀβδηρόθεν, καὶ τὸν κλαίοντα, τὸν ἐξ Ἐφέσου· ἅμα γὰρ αὐτὼ πεπρᾶσθαι βούλεσθον. ΕΡ. Κατάβηθον ἐς τὸ μέσον. Τὼ ἀρίστω βίω πωλῶ· τὼ σοφωτάτω πάντων ἀποκηρύττομαι. ΑΓΟ. Ὦ Ζεῦ, τῆς ἐναντιότητος· [4] ὁ μὲν οὐ διαλείπει γελῶν· ὁ δέ τινα ἔοικε πενθεῖν. Δακρύει γὰρ τοπαράπαν· τί ταῦτ' ὦ οὗτος; τί γελᾷς; Δημόκριτος. Ἐρωτᾷς; ὅτι μοι γελοῖα πάντα δοκέει τὰ πρήγματα ὑμέων, καὶ αὐτοὶ ὑμέες. ΑΓΟ. Πῶς λέγεις; καταγελᾷς ἡμῶν ἁπάντων, καὶ παρ' οὐδὲν τίθεσαι τὰ ἡμέτερα πράγματα; ΔΗΜΟ. Ὧδε ἔχει. Σπουδαῖον γὰρ ἐν αὐτέοισιν οὐδέν· [5] κενὰ δὲ τὰ πάντα, καὶ ἀτόμων φορὴ, καὶ ἀπειρίη. ΑΓΟ. Οὐμενοῦν, ἀλλὰ σὺ κενὸς

3 Τὸν Ἀβδηρόθεν] Ad Democritum, qui natus erat Abderæ oppidi Thraciæ, τὸν ἐξ Ἐφέσου verò ad Heraclitum, natum Ephesi Urbis Ioniæ, respicit.

4 Ὁ μὲν οὐ διαλείπει γελῶν, &c.] Sic et Juv. Sat. x.

——————— *de Sapientibus alter*
Ridebat, quoties à limine moverat unum
Protuleratque pedem; flebat contrarius alter.

5 Κενὰ δὲ τὰ πάντα, &c.] *De rerum naturâ ita sensit Democritus primordia omnium ab Atomis et Inani esse.* Voss. Cap. VII. et Cicero *infinitionem ipsam, quam ἀπειρίαν vocant, totum ab illo fuisse* in tertio libro de Finibus asserit.

ὡς

ὡς ἀληθῶς καὶ ἄπειρος. Ὦ τῆς ὕβρεως, οὐ παύσῃ γελῶν;

14. Σὺ δὲ τί κλάεις, ὦ βέλτιστε; πολὺ γὰρ οἶμαι κάλλιον σοὶ προσλαλεῖν. Ἡράκλειτος. Ἡγέομαι γὰρ, ὦ ξένε, τὰ ἀνθρώπινα πρήγματα ὀϊζυρὰ, καὶ δακρυώδεα, καὶ οὐδὲν αὐτέων, ὅ, τι μὴ ἐπικήριον· [6] τῷ δὴ οἰκτείρω τε σφέας, καὶ ὀδύρομαι. Καὶ τὰ μὲν παρεόντα οὐ δοκέω μεγάλα· τὰ δὲ ὑστέρῳ χρόνῳ ἐσόμενα, πάμπαν ἀνιηρά. Λέγω δὲ [7] τὰς ἐκπυρωσίας, καὶ τὴν τοῦ ὅλου συμφορήν. Ταῦτ' ὀδύρομαι· καὶ ὅτι ἔμπεδον οὐδὲν, [8] ἀλλάκως εἰς κυκεῶνα [9] πάντα συνειλέονται, καὶ ἔστι ταυτὸ τέρψις, ἀτερψίη· γνῶσις, ἀγνωσίη· μέγα, μικρόν· ἄνω, κάτω, περιχορεύοντα, καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ. ΑΓΟ. Τί γὰρ ὁ αἰών ἐστί; ΗΡΑ. Παῖς, παίζων, πεσσεύων, διαφερόμενος. ΑΓΟ. Τί δαὶ οἱ ἄνθρωποι; ΗΡΑ. Θεοὶ θνητοί. ΑΓΟ. Τί δαὶ οἱ θεοί; ΗΡΑ. Ἄνθρωποι ἀθάνατοι. ΑΓΟ. Αἰνίγματα λέγεις ὦ οὗτος, ἢ [0] γρίφους συντιθεῖς; ἀτεχνῶς γὰρ

6 Τῷ δὴ] Pro ἐπὶ τῷ δή. Leeds.

7 Τὰς ἐκπυρωσίας] Mundum flammis periturum fuisse Heracliti sententiam notavit Plutarchus de oraculorum defectu; atque idem sensisse Orpheum et universam Stoam, unde vocatur Στωικὴ ἐκπύρωσις. Leeds.

8 Ἀλλάκως] Ἀντὶ τοῦ ἀλλὰ πῶς. Ἰωνικῶς. Leeds.

9 Πάντα συνειλέονται] Neutra pluralia non semper gaudent verbo singulari. Leeds.

0 Γρίφους] Γρίφος τὸ δίκτυον· λέγεται δὲ καὶ ὁ ἀσαφὴς λόγος. Vid. Suid.

ὥσπερ [1] ὁ Λοξίας, οὐδὲν ἀποσαφεῖς. ΗΡΑ. Οὐδὲν γάρ μοι μέλει ὑμέων. ΑΓΟ. Τοιγαροῦν οὐδὲ ὠνήσεταί σέ τις εὖ φρονῶν. ΗΡΑ. Ἐγὼ δὲ κέλομαι πᾶσιν ἡβηδὸν οἰμώζειν, τοῖσιν ὠνεομένοισι, καὶ τοῖσιν οὐκ ὠνεομένοισι. ΑΓΟ. Τουτὶ τὸ κακὸν οὐ πόῤῥω μελαγχολίας ἐστὶν, οὐδὲ ἕτερον ἔγωγε αὐτῶν ὠνήσομαι. ΕΡ. Ἄπρατοι καὶ οὗτοι μένουσιν. Ζ. Ἄλλον ἀποκήρυττε.

15. ΕΡ. Βούλει [2] τὸν Ἀθηναῖον ἐκεῖνον, τὸν στωμύλον; Ζ. Πάνυ μὲν οὖν. ΕΡ. Δεῦρ' ἐλθὲ σύ. Βίον ἀγαθὸν, καὶ συνετὸν ἀποκηρύττομεν· τίς ὠνεῖται τὸν ἱερώτατον; ΑΓΟ. Εἰπέ μοι, τί μάλιστα εἰδὼς τυγχάνεις. Τῆς δὲ σοφίας τί σοι τὸ κεφάλαιον; ΣΩ. [3] Αἱ ἰδέαι, καὶ τὰ τῶν ὄντων παραδείγματα. Ὁπόσα γὰρ δὴ ὁρᾷς, τὴν γῆν, τἀπὶ γῆς, τὸν οὐρανὸν, τὴν θάλατταν, ἁπάντων τούτων εἰκόνες ἀφανεῖς ἑστᾶσιν ἔξω τῶν ὅλων. ΑΓΟ. Ποῦ δὲ ἑστᾶσιν; ΣΩ. Οὐδαμοῦ. Εἰ γάρ που εἶεν, οὐκ ἂν εἶεν. ΑΓΟ. Οὐχ ὁρῶ ταῦθ' ἅπερ λέγεις τὰ παραδείγματα. ΣΩ. Εἰκότως· τυφλὸς γὰρ εἶ τῆς ψυχῆς τὸν ὀφθαλμόν· ἐγὼ δὲ πάντων ὁρῶ εἰκόνας, καὶ σὲ ἀφανῆ, κἀμὲ ἄλλον· καὶ ὅλως, διπλᾶ πάντα. ΑΓΟ. Τοιγαροῦν ὠνητέος εἶ, σοφὸς, καὶ ὀξυδερκής τις

1 Ὁ Λοξίας,] Ὁ Ἀπόλλων ἀπὸ τοῦ λοξὴν ἔχειν τὴν φωνήν. Ἐτυμολ. i. e. *Quia obscuram habet vocem in vaticiniis scilicet.* Ἢ παρὰ τὸ λοξῶς ἰέναι τὸν ἥλιον διὰ τοῦ ζῳδιακοῦ. Leeds.

2 Τὸν Ἀθηναῖον ἐκεῖνον, &c.] Socratem scilicet, quem *reliquorum philosophorum fontem* Quintilianus, et *Principem* Cicero dicit.

3 Αἱ ἰδέαι, &c.] Vid. Plat. de rep. lib. 6.

ὤν. Φέρ' ἴδω τί καὶ πράξεις με ὑπὲρ αὐτȣ̃ σύ. ΕΡ. Δὸς δύο τάλαντα. ΑΓΟ. Ὠνησάμην ὅσȣ φῄς· τἀργύριον μέντοι ἐς αὖθις καταβαλῶ.

16. ΕΡ. Τί ȣ̃ν σοι τȣ̓́νομα; ΑΓΟ. [4] Δίων Συῤῥακȣ́σιος. ΕΡ. Ἄγε λαβὼν ἀγαθῇ τύχῃ. Τὸν Ἐπικȣ́ρειον σὲ ἤδη καλῶ. Τίς ὠνεῖται τȣ̃τον; [5] ἐςὶ μὲν τȣ̃ γελῶντος ἐκείνȣ μαθητὴς, καὶ τȣ̃ μεθύοντος, ȣ̓̃ς μικρῷ πρόσθεν ἀπεκηρύττομεν. Ἓν δὲ πλέον οἶδεν αὐτῶν, παρόσον ἀσεβέςερος τυγχάνει. Τὰ δ' ἄλλα, ἡδὺς, καὶ λιχνείᾳ φίλος. ΑΓΟ. Τίς ἡ τιμή; ΕΡ. Δύο μναῖ. ΑΓΟ. Λάμβανε. Τὸ δεῖνα δὲ ὅπως ἴδω, τίσι χαίρει τῶν ἐδεσμάτων; ΕΡ. Τὰ γλυκέα σιτεῖται, καὶ μελιτώδη· καὶ μάλιςα τὰς ἰσχάδας. ΑΓΟ. Χαλεπὸν μὲν ȣ̓δέν. Ὠνήσομαι γὰρ αὐτῷ παλάθας τῶν καρικῶν.

17. Ζ. Ἄλλον κάλει. Τὸν ἐν χρῷ κȣρίαν ἐκεῖνον, τὸν σκυθρωπὸν, [6] τὸν ἀπὸ τῆς ςοᾶς. ΕΡ. Εὖ λέγεις·

4 Δίων Συῤῥακȣ́σιος] Platonis discipulus, cui Socrates non potuit non esse charus. Leeds.

5 Ἐςὶ μὲν τοῦ γελῶντος, &c.] Democriti scilicet et Aristippi; ex Democrito enim atomos suos accepit Epicurus, unde Cicero in primo de naturâ Deorum—————*quid est in Physicis Epicuri non à Democrito?* Quod autem ad moralem philosophiam attinet, Ille summum bonum in voluptate, non minus atque Aristippus, hoc tamen interposito discrimine, quòd Hic in voluptate corporis, Ille animi, posuit. Vid. Gassend. in lib. x. Diogenis Laertii.

6 Τὸν ἀπὸ τῆς ςοᾶς] Chrysippum Stoicum, sic dictum à *stoâ*; i. e.

ἐοίκασι δ' ἂν πολύ τι πλῆθος αὐτὸν περιμένειν τῶν περὶ τὴν ἀγορὰν ἀπηντηκότων. Αὐτὴν τὴν ἀρετὴν πωλῶ· τὸν βίον τὸν τελειότατον. Τίς πάντα μόνος εἰδέναι θέλει; ΑΓΟ. Πῶς τοῦτο φῄς; ΕΡ. Ὅτι μόνον οὗτος σοφὸς, μόνος καλὸς, μόνος δίκαιος, ἀνδρεῖος, βασιλεὺς, ῥήτωρ, πλούσιος; νομοθέτης, καὶ τἄλλα, ὁπόσα ἐστίν. ΕΡ. Οὐκοῦν, ὦ 'γαθε, καὶ μάγειρος μόνος, καὶ νὴ Δία γε σκυτοδέψης, καὶ τέκτων, καὶ τὰ τοιαῦτα. ΕΡ. Ἔοικεν.

18. ΑΓΟ. Ἐλθὲ, ὦ 'γαθε, καὶ λέγε πρὸς τὸν ὠνητὴν ἐμὲ, ποῖός τις εἶ· καὶ πρῶτον εἰ οὐκ ἄχθῃ πιπρασκόμενος, καὶ δοῦλος ὤν. Χρύσιππος. Οὐδαμῶς· Οὐ γὰρ ἐφ' ἡμῖν ταῦτά ἐστιν· ὅσα δὲ οὐκ ἐφ' ἡμῖν ἀδιάφορα εἶναι συμβέβηκεν. ΑΓΟ. Οὐ μανθάνω ᾗ λέγεις. ΧΡΥ. Τί φῄς; οὐ μανθάνεις ὅτι τῶν τοιούτων τὰ μέν ἐστι [7] προηγμένα, τὰ δ' ἔμπαλιν ἀποπροηγμένα; ΑΓΟ. Οὐδὲ νῦν μανθάνω.

i. e. *porticu* in Athenarum urbe, ubi Zeno autor Stoicæ philosophorum sectæ docuit discipulos. Leeds.

7 Προηγμένα et ἀποπροηγμένα] Cæteri Philosophi multa in *bonis* habuerunt præter *Virtutem*, ut sanitatem, voluptatem; multa in *malis* præter *vitia*, ut morbos, dolorem, et cætera id genus: Stoici autem nihil *bonum* fuisse nisi quod *honestum*, nihil *malum* nisi quod *turpe* fuerit, contenderant. Divitiæ igitur et paupertas, sanitas et morbi apud eos fuere ἀδιάφορα. Sed cùm pro eodem habere sanitatem et morbum, voluptatem et dolorem adeò absurdum fuerit, ut nihil magis, *priora illa dixerunt* προηγμένα, *Producta seu promota, poteriora* ἀποπροηγμένα, *abducta seu remota; quod illa quidem, tanquam dignitatem et æstimatio-*

nem

19. Ζ. Μὴ διάτριβε· ἄλλον κάλει. ΕΡ. [8] Τὸν Περιπατητικόν σε φημί, τὸν καλόν, τὸν πλούσιον. Ἄγε δή, ὠνήσασθε τὸν συνετώτατον, τὸν πάντα ὅλως ἐπιστάμενον. ΑΓΟ. Ποῖος δέ τις ἐστί; ΕΡ. Μέτριος, ἐπιεικής, ἁρμόδιος τῷ βίῳ· τὸ δὲ μέγιστον, διπλοῦς. ΑΓΟ. Πῶς λέγεις; ΕΡ. Ἄλλος μὲν ὁ ἔκτοσθεν φαινόμενος, ἄλλος δὲ ὁ ἔντοσθεν εἶναι δοκεῖ· ὥστε ἢν πρίῃ αὐτόν, μέμνησο, [9] τὸν μὲν, ἐσωτερικὸν, τὸν δὲ, ἐξωτερικὸν καλεῖν. ΑΓΟ. Τί δὲ γιγνώσκει μάλιστα; ΕΡ. Τρία εἶναι τὰ ἀγαθά, ἐν ψυχῇ, ἐν σώματι, ἐν τοῖς ἐκτός. ΑΓΟ. Ἀνθρώπινα φρονεῖ· πόσου δέ ἐστιν; ΕΡ. Εἴκοσι μνῶν. ΑΓΟ. Πολὺ λέγεις. ΕΡ. Οὐκ ὦ μακάριε· καὶ γὰρ αὐτὸς ἔχειν τι ἀργύριον δοκεῖ· ὥστε [0] οὐκ ἂν φθάνοις ὠνούμενος· ἔτι δὲ εἴσῃ αὐτίκα μάλα παρ' αὐτοῦ

nem habentia, sint ipsi Honesto sive Virtuti propinquiora ista, quasi indignitatem deæstimationemque sortita, sint ab illo remotiora. Hæc appellat Cicero præcipua et præposita, rejecta et rejectanea, quòd inter eligendum illa præferantur, ista dimittantur. Vid. Gassend. in lib. x. Diog. Laertii. Vid. et Cicer. lib. 4. de Fin. et 2. Tusc. Quæst.

8 Τὸν Περιπατητικόν] Aristotelem intelligit hujusce sectæ principem.

9 Τὸν μὲν ἐσωτερικόν] Hæc non ad ipsum Aristotelem referenda sunt, sed ad scripta, quorum alia dicuntur ἐσωτερικά, alia ἐξωτερικά.

0 Οὐκ ἂν φθάνοις ὠνούμενος] Φθάνω in Optativo, οὐκ ἂν præcedente, significat aliquando planè id futurum, quod participio significatur; idque affirmando, licet constructio sit negativa; ut οὐκ ἂν φθάνοι τῆς κακουργίας τίσιν ἀποτίνων, *nunquam effugiet pœnam sceleri suo debitum*; οὐκ ἂν φθάνοι ἀποθνήσκων, *mortem nunquam effugiet.* Vid. Vigerum.

πόσον

[1] πόσον μὲν ὁ κώνωψ βιοῖ τὸν χρόνον, ἐφ' ὅσον δὲ βάθος ἡ θάλασσα ὑπὸ τοῦ ἡλίου καταλάμπεται, καὶ ὁποία τις ἐστὶν ἡ ψυχὴ τῶν ὀστρέων. ΑΓΟ. Πάνσεμνα φῄς, καὶ ὀνησιφόρα τὰ μαθήματα· ὥστε ὠνοῦμαι αὐτὸν εἴκοσιν.

20. ΕΡ. Εἶεν. Τίς λοιπὸς ἡμῖν καταλέλειπται; ὁ Σκεπτικὸς οὗτος. Σὺ [2] ὁ Πυρρίας πρόσιθι, καὶ ἀποκηρύττου κατὰ τάχος. Ἤδη μὲν ὑπορρέουσι οἱ πολλοί, καὶ ἐν ὀλίγοις ἡ πρᾶσις ἔσται. Ὅμως δέ, τίς καὶ τοῦτον ὠνεῖται; ΑΓΟ. Ἔγωγε. Ἀλλ' οὖν πρῶτον εἰπέ μοι, σὺ τί ἐπίστασαι; ΦΙΛΟΣΟΦΟΣ. Οὐδέν. ΑΓΟ. Πῶς τοῦτ' ἔφησθα; ΦΙ. Ὅτι οὐδὲν ὅλως εἶναί μοι δοκεῖ. ΑΓΟ. Οὐδὲ ἡμεῖς ἄρα ἐσμέν τινες; ΦΙ. Οὐδὲ τοῦτο οἶδα. ΑΓΟ. Οὐδ' ὅτι σύ τις ὢν τυγχάνεις; ΦΙ. Πολὺ μᾶλλον ἔτι τοῦτ' ἀγνοῶ. ΑΓΟ. Ὢ τῆς ἀπορίας! Τί δαί σοι τὰ στάθμια ταυτὶ βούλεται; ΦΙ. Ζυγοστατῶ ἐν αὐτοῖς τοὺς λόγους, καὶ πρὸς τὸ ἴσον ἀπευθύνω·


1 Πόσον μὲν ὁ κώνωψ, &c.] De hisce et sequentibus scripsit Aristoteles.

2 Ὁ Πυρρίας]. Lucianus illum intelligere videtur, qui apud Diogenem Laertium dicitur Πύρρων, unde ortum habuit secta, *Pyrrhonii* ab eo denominata.—Quin et, teste Laertio, Σκεπτικοὶ dicebantur, quia semper σκέπτονται, hoc est *rem considerant*, nec *unquam decernunt*: Ἀπορητικοὶ, quia semper ἀποροῦσιν, hoc est, *dubitant*: Ζητητικοὶ, quia semper ζητοῦσι *quærunt*, nec reperiunt: Ἐφεκτικοὶ, quia longæ inquisitionis non alius eventus, quàm ἐποχὴ, hoc est, *judicii suspensio*, sive *assentionis retentio*. Vid. Voss. de Phil. Sect. cap. xx. et A. Gell. lib. xi. c. v.

καὶ

καὶ ἐπειδὰν ἀκριβῶς ὁμοίως τε καὶ ἰσοβαρεῖς ἴδω, τότε δὴ ἀγνοῶ τὸν ἀληθέστερον. ΑΓΟ. Τῶν ἄλλων δὲ, τί ἂν πράττοις ἐμμελῶς; ΦΙ. Τὰ πάντα, πλὴν δραπέτην μεταδιώκειν. ΑΓΟ. Τί δαὶ τοῦτό σοι ἀδύνατον; ΦΙ. Ὅτι, ὦ 'γαθὲ, οὐ καταλαμβάνω. ΑΓΟ. Εἰκότως. Βραδὺς γὰρ καὶ νωθής τις εἶναι δοκεῖς. Ἀλλὰ τί σοι τὸ τέλος τῆς ἐπιστάσεως; ΦΙ. Ἡ ἀμαθία, καὶ τὸ μήτε ἀκούειν, μήτε ὁρᾶν. ΑΓΟ. Οὐκοῦν καὶ κωφὸς ἅμα, καὶ τυφλὸς εἶναι λέγεις. ΦΙ. Καὶ ἄκριτός γε προσέτι, καὶ ἀναίσθητος· καὶ ὅλως, τοῦ σκώληκος οὐδὲν διαφέρων. ΑΓΟ. Ὠνητέος εἶ διὰ ταῦτα. Πόσου τοῦτον ἄξιον χρὴ φάναι; ΕΡ. Μνᾶς Ἀττικῆς. ΑΓΟ. Λάμβανε. Τί φὴς, ὦ οὗτος, ἐπριάμην σε; ΦΙ. Ἄδηλον. ΑΓΟ. Μηδαμῶς. Ἐώνημαι γὰρ, καὶ τἀργύριον κατέβαλον. ΦΙ. Ἐπέχω περὶ τούτου, καὶ διασκέπτομαι. ΑΓΟ. Καὶ μὴν ἀκολούθει μοι, καθάπερ χρὴ ἐμὸν οἰκέτην. ΦΙ. Τίς οἶδεν εἰ ἀληθῆ ταῦτα φής; ΑΓΟ. Ὁ κήρυξ, καὶ ἡ μνᾶ, καὶ οἱ παρόντες. ΦΙ. Πάρεισι γὰρ ἡμῖν τίνες; ΑΓΟ. Ἀλλ' ἔγωγε σέ ἤδη ἐμβαλὼν ἐς τὸν μύλωνα, πείσω εἶναι δεσπότης κατὰ τὸν χείρω λόγον. ΦΙ. [3] Ἐπέχω περὶ τούτου. ΑΓΟ. Μὰ Δί', ἀλλ' ἤδη γε ἀπεφηνάμην. ΕΡ. Σὺ μὲν παῦσαι ἀντιτείνων, καὶ ἀκολούθει τῷ πριαμένῳ. Ὑμᾶς δ' ἐς αὔριον παρακαλοῦμεν· ἀποκηρύξειν γὰρ τοὺς ἰδιώτας, καὶ βαναύσους, καὶ ἀγοραίους βίους μέλλομεν.

3 Ἐπέχω περὶ τούτου] Γνώμην, συγκατάθεσιν, aut simile quid subauditur.



Dialog. XXI.

ΛΟΥΚΙΑΝΟΥ ΜΙΚΥΛΛΟΣ ἢ ΑΛΕΚΤΡΥΩΝ.

ΜΙΚΥΛΛΟΣ.

'ΑΛΛΑ' σε, ὦ κάκιστε 'Αλεκτρυὼν, ὁ Ζεὺς αὐτὸς ἐπιτρίψειε, φθονερὸν οὕτω, καὶ οξύφωνον ὄντα, ὅς με πλουτοῦντα, καὶ ἡδίστῳ 'Ονείρῳ ξυνόντα, καὶ θαυμαστὴν εὐδαιμονίαν εὐδαιμονοῦντα, διάτορόν τι καὶ γεγωνὸς ἀναβοήτας, ἐπήγειρας, ὡς μηδὲ νύκτωρ γοῦν τὴν πολὺ σοῦ μιαρωτέραν πενίαν διαφύγοιμι. Καίτοι εἴγε χρὴ τεκμαίρεσθαι τῇ τε ἡσυχίᾳ πολλῇ ἔτι οὔσῃ καὶ τῷ κρύει μηδέπω με τὸ ὀρθρινὸν, ὥσπερ εἴωθεν, ἀποκναίοντι, (γνώμων γὰρ οὗτος ἀψευδέστατός μοι προσελαυνούσης ἡμέρας;) οὐδέπω μέσαι νύκτες εἰσίν. 'Ο δὲ ἄϋπνος οὗτος, ὥσπερ τὸ χρυσοῦν ἐκεῖνο κώδιον φυλάττων, ἀφ' ἑσπέρας εὐθὺς ἤδη κέκραγεν· ἀλλ' οὔτι χαίρων γε· ἀμυνοῦμαι γὰρ εὐθύς σε, ἢν μόνον ἡμέρα γένηται, συντρίβων τῇ βακτηρίᾳ· νῦν γάρ μοι πράγματα παρέξεις, ἀναπηδῶν ἐν τῷ σκότῳ. ΑΛΕΚ. Μίκυλλε δέσποτα, ᾤμην τὶ χαριεῖσθαι σοι, φθάνων τῆς νυκτὸς ὁπόσον δυναίμην; ὡς ἔχοις ὀρθρευόμενος διανύειν τὰ πολλὰ τῶν ἔργων. Ἦν γοῦν, πρὶν ἀνατεῖλαι ἥλιον, μίαν κρηπῖδα ἐργάσαιο, προοδοῦ ἔσῃ τοῦτο ἐς τὰ ἄλφιτα πεπονηκώς·

εἰ

εἰ δέ σοι καθεύδειν ἥδιον, ἐγὼ μὲν ἡσυχάσομαί σοι καὶ πολὺ ἀφωνότερος ἔσομαι τῶν ἰχθύων. Σὺ δὲ ὅρα ὅπως μὴ ὄναρ πλετῶν, λιμώτῃς ἀνεγρόμενος.

2. ΜΙΚ. [4] Ὦ Ζεῦ τεράστιε, καὶ Ἡράκλεις [5] ἀλεξίκακε, τί τὸ κακὸν τετό ἐστιν; ἀνθρωπίνως ἐλάλησεν ὁ ἀλεκτρυών. ΑΛΕΚ. Εἶτά σοι τέρας εἶναι δοκεῖ τὸ τοιέτον, εἰ ὁμόφωνος ὑμῖν εἰμι; ΜΙΚ. Πῶς γὰρ ἐ τέρας; ἀλλ' ἀποτρέπετε, ὦ Θεοί, τὸ δεινὸν ἀφ' ἡμῶν. ΑΛΕΚ. Σύ μοι δοκεῖς, ὦ Μίκυλλε, κομιδῇ ἀπαίδευτος εἶναι, μηδὲ ἀνεγνωκέναι τὰ Ὁμήρε ποιήματα, ἐν οἷς ὁ τε Ἀχιλλέως ἵππος ὁ [6] Ξάνθος, μακρὰ χαίρειν φράσας τῷ χρεμετίζειν, ἕστηκεν ἐν μέσῳ τῷ πολέμῳ διαλεγόμενος, ἔπη ὅλα ῥαψῳδῶν, ἐχ ὥσπερ ἐγὼ νῦν, ἄνευ τῶν μέτρων, ἀλλὰ καὶ ἐμαντεύετο ἐκεῖνος, καὶ τὰ μέλλοντα προεθέσπιζε· καὶ ἐδέν τι παράδοξον ἐδόκει ποιεῖν, ἐδὲ ὁ ἀκέων ἐπεκαλεῖτο, ὥσπερ σὺ, τὸν ἀλεξίκακον, ἀποτρόπαιον ἡγέμενος τὸ ἄκεσμα. Καίτοι τί ἂν ἐποίησας, εἴ σοι ἡ τῆς [7] Ἀργες τρόπις

4 Ὦ Ζεῦ τεράστιε] Ἐιώθασιν οἱ Ἀρχαῖοι ἀπὸ τῶν πραγμάτων τὸν Δία καλεῖν· οἷον δεχόμενοι ξένον, ἐκάλεν Δία Ξένιον. Οὕτω καὶ ἐνταῦθα καλεῖ τὸν Δία τεράστιον, τὸν ἀποδιώκοντα τὰ τέρατα. Τέρας δὲ λέγει, τὸ ἀνθρωπίνῃ φωνῇ τὸν ἀλεκτρύονα χρήσασθαι. Schol.

5 Ἀλεξίκακε] Ὁ ἀποδιώκων τὰ κακά. Ἀλεξίκακος δὲ ὁ Ἡρακλῆς, ὡς πολλὰ τῶν ἐκ τῷ κόσμῳ κακῶν ἰασάμενος. Schol.

6 Ξάνθος] Vid. Hom. Il. τ'. v. 403.

7 Ἀργες] Argo dicitur fuisse prima navis, in quâ Jason cum 54 heroibus Thessalis navigavit Colchos ad rapiendum vellus

 aureum,

ἐλάλησεν, ὥσπερ ποτὲ ἡ Φηγὸς ἐν Δωδώνῃ αὐτόφωνος ἐμαντεύετο, ἢ [8] εἰ βύρσας εἶδες ἑρπούσας, καὶ βοῶν κρέα μυκώμενα, ἡμίοπτα καὶ ἑφθὰ, περιπεπαρμένα τοῖς ὀβελοῖς; ἐγὼ δὲ, Ἑρμοῦ [9] πάρεδρος ὢν, λαλιστάτου καὶ λογιωτάτου θεῶν ἁπάντων, καὶ τὰ ἄλλα ὁμοδίαιτος ὑμῖν, καὶ σύντροφος, οὐ χαλεπῶς ἔμελλον ἐκμαθήσεσθαι τὴν ἀνθρωπίνην φωνήν. Εἰ δὲ ἐχεμυθήσειν ὑπόσχοιό μοι, οὐκ ἂν ὀκνήσαιμί σοι τὴν ἀληθεστέραν αἰτίαν εἰπεῖν τῆς πρὸς ὑμᾶς ὁμοφωνίας, καὶ ὅθεν ὑπάρχει μοι οὕτω λαλεῖν.

3. ΜΙΚ. Ἀλλὰ μὴ ὄνειρος καὶ ταῦτά ἐστιν Ἀλεκτρυὼν οὕτω πρὸς ἐμὲ διαλεγόμενος; εἰπὲ δ᾽ οὖν πρὸς τοῦ Ἑρμοῦ, ὦ βέλτιστε, ὅ, τι καὶ ἄλλό σοι τῆς φωνῆς αἴτιον· ὡς δὲ σιωπήσομαι, καὶ πρὸς οὐδένα ἐρῶ, τί σε χρὴ δεδιέναι; τίς γὰρ ἂν πιστεύσειέ μοι, εἴ τινι διηγοίμην, ὡς Ἀλεκτρυόνος αὐτὰ εἰπόντος ἀκήκοώς;

aureum, dicta ab ejusdem nominis artifice; alii ab ἀργον, quod est velox. Facta est ex arboribus Dodonæ, Sylvæ Epiri Jovi sacræ, quibus olim oracula reddebantur. Apoll. lib. 4. Argon. Cognatus.

8 Εἰ βύρσας, &c.] Ad Homeri locum respicit. Od. μ'. v. 394.

Τοῖσιν δ᾽ αὐτίκ᾽ ἔπειτα θεοὶ τέρατα προὔφαινον·
Εἷρπον μὲν ῥινοὶ, κρέα δ᾽ ἀμφ᾽ ὀβελοῖς ἐμεμύκει,
Ὀπταλέα τε καὶ ὠμά· βοῶν δ᾽ ὡς γίνετο φωνή.

9 Πάρεδρος ὢν] Gallus Mercurio dicitur esse assessor, quia in imaginibus Mercurii, quæ apud veteres sunt, Gallus ad pedes solet assidere. Vid. Chartar. de imag. Deorum. p. 201. Leeds.

ΑΛΕΚ.

ΑΛΕΚ. Ἄκουε τοίνυν· παραδοξότατόν σοι λόγον εὖ οἶδ' ὅτι λέγω, ὦ Μίκυλλε· οὑτοσὶ γὰρ ὁ νῦν σοι Ἀλεκτρυὼν φαινόμενος, ° οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν. ΜΙΚ. Ἤκουσά τι καὶ πάλαι τοιοῦτον ἀμέλει περὶ ὑμῶν, ὡς Ἀλεκτρυών τις νεανίσκος φίλος γένοιτο τῷ Ἄρει, καὶ συμπίνοι τῷ Θεῷ, καὶ συγκωμάζοι, καὶ κοινωνοίη τῶν ἐρωτικῶν· ὁπότε γοῦν ἀπίοι παρὰ τὴν Ἀφροδίτην μοιχεύσων ὁ Ἄρης, ἐπάγεσθαι καὶ τὸν Ἀλεκτρυόνα, καὶ ἐπειδήπερ μάλιστα τὸν Ἥλιον ὑφεωρᾶτο, μὴ κατιδὼν ἐξείπῃ πρὸς τὸν Ἥφαιστον, ἔξω πρὸς ταῖς θύραις ἀπολείπειν ἀεὶ τὸν νεανίσκον, μηνύσοντα ὁπότε φαίνοι ὁ Ἥλιος, εἶτά ποτε καταχοιμηθῆναι μὲν τὸν Ἀλεκτρυόνα, καὶ προδοῦναι τὴν φρουρὰν ἄκοντα· τὸν δὲ Ἥλιον λαθόντα, ἐπιστῆναι τῇ Ἀφροδίτῃ, καὶ τῷ Ἄρει ἀφρόντιδι ἀναπαυομένῳ, διὰ τὸ πιστεύειν τὸν Ἀλεκτρυόνα μηνῦσαι ἄν, εἴ τις ἐπίοι, καὶ οὕτω τὸν Ἥφαιστον παρ' Ἡλίου μαθόντα συλλαβεῖν αὐτοὺς, περιβαλόντα καὶ σαγηνεύσαντα τοῖς δεσμοῖς, ἃ πάλαι μεμηχάνητο ἐπ' αὐτοὺς, ἀφεθέντα δὲ, (ὡς ἀφείθη) τὸν Ἄρην ἀγανακτῆσαι κατὰ τοῦ Ἀλεκτρυόνος, καὶ μεταβαλεῖν αὐτὸν εἰς τουτὶ τὸ ὄρνεον αὐτοῖς ὅπλοις, ὡς ἀντὶ τοῦ κράνους τὸν λόφον ἔχειν ἐπὶ τῇ κεφαλῇ. Διὰ τοῦτο ὑμᾶς ἀπολογουμένους τῷ Ἄρει, ὅτ' οὐδὲν ὄφελος, ἐπειδὰν αἴσθησθε ἀνατέλ-

° Οὐ πρὸ πολλοῦ, &c.] Vid. Nat. Com. lib. 11.

λοντα

λογ]α τὸν Ἥλιον, πρὸ πολλῦ βοᾶν, ἐπισημαινομένους τὴν ἀνατολὴν αὐτῦ.

4. ΑΛΕΚ. Φασὶ μὲν καὶ ταῦτα, ὦ Μίκυλλε. Τὸ δὲ ἐμὸν ἑτεροῖόν τι ἐγένετο· καὶ πάνυ ἔναγχος εἰς Ἀλεκτρυόνα σοι καταβέβηκα. ΜΙΚ. Πῶς; ἐθέλω γὰρ τοῦτο μάλιστα εἰδέναι. ΑΛΕΚ. Οἶσθα ἄρα τὸν Πυθαγόραν Μνησαρχίδην Σάμιον; ΜΙΚ. Τὸν σοφιστὴν λέγεις; τὸν ἀλαζόνα; ὃς ἐνομοθέτει μήτε κρεῶν γεύεσθαι, μήτε κυάμους ἐσθίειν, ἥδιστον ἐμοὶ γοῦν ὄψον ἐκτράπεζον ἀποφαίνων, ἔτι δὲ καὶ πείθων τοὺς ἀνθρώπους ἐς πέντε ἔτη μὴ διαλέγεσθαι. ΑΛΕΚ. Ἴσθι δῆτα κἀκεῖνο, ὡς πρὸ τοῦ Πυθαγόρου, Εὔφορβος γένοιτο. ΜΙΚ. Γόητα, φασὶ, καὶ τερατουργὸν τὸν ἄνθρωπον, ὦ Ἀλεκτρυών. ΑΛΕΚ. Ἐκεῖνος αὐτὸς ἐγώ σοι εἰμὶ ὁ Πυθαγόρας· ὥστε παῦε, ὦ ἀγαθὲ, λοιδορούμενός μοι, καὶ ταῦτα, οὐκ εἰδὼς οἷός τις ἦν τὸν τρόπον. ΜΙΚ. Τοῦτ' αὖ μακρῷ ἐκείνου τερατωδέστερον, Ἀλεκτρυὼν φιλόσοφος. Εἰπὲ δὲ ὅμως, ὦ Μνησάρχου παῖ, ὅπως ἡμῖν ἀντὶ μὲν ἀνθρώπου ὄρνις, [1] ἀντὶ δὲ Σαμίου Ταναγραῖος ἀναπέφηνας; οὐ πιθανὰ γὰρ ταῦτα, οὐδὲ πάνυ πιστεῦσαι ῥάδια, ἐπεὶ καὶ δύο ἤδη μοι τετηρηκέναι δοκῶ πάνυ ἀλλότρια ἐν σοὶ τοῦ Πυθαγόρου.

1 Ἀντὶ δὲ Σαμίου Ταναγραῖος] Σάμος νῆσος ἦν, ὅθεν ὁ Πυθαγόρας. Τάναγρα δὲ πόλις Βοιωτίας, ὅθεν ὁ Μίκυλλος. &c. Schol.

ΑΛΕΚ.

ΑΛΕΚ. Τὰ ποῖα; ΜΙΚ. Ἓν μὲν, ὅτι λάλος εἶ, καὶ κρακ]ικός· ὁ δὲ σιωπᾷν ἐς πέντε ὅλα ἔτη, οἶμαι, παρῄνει· ἕτερον δὲ, καὶ παν]ελῶς, παράνομον· ὐ γὰρ ἔχων ὅ, τι σοὶ παραβάλοιμι, κυάμυς χθὲς, ὡς οἶσθα, ἔχων ἧκον, καὶ σὺ ὐδὲν μελλήσας, ἀνέλεξας αὐτύς. Ὥςε ἢ ἐψεῦσθαί σοι ἀνάγκη, καὶ ἄλλα εἶναι, ἢ Πυθαγόρα ὄν]ι παρανενομηκέναι, καὶ τὸ ἴσον, ἠσεβηκέναι, κυάμυς φαγόν]α, ὡς ἂν εἰ τὴν κεφαλὴν τῦ πα]ρὸς ἐδηδόκεις.

5. ΑΛΕΚ. Οὐ γὰρ οἶσθα, ὦ Μίκυλλε, ἥτις αἰτία τύτων, ὐδὲ τὰ πρόσφορα ἑκάςῳ βίῳ. Ἐγὼ δὲ, τότε μὲν, ὐκ ἤσθιον τῶν κυάμων· ἐφιλοσόφυν γάρ· νῦν δὲ φάγοιμι ἄν· ὀρνιθικὴ γὰρ, καὶ ὐκ ἀπόῤῥη]ος ἡμῖν ἡ τροφή. Ἀλλ᾽ εἴ σοι φίλον, ἄκυε, πῶς ἐκ Πυθαγόρυ τῦτο νῦν εἰμι, καὶ ἐν ὅσοις πρότερον ἐβιότευσα βίοις, καὶ ἅτινα τῆς με]αβολῆς ἀπολέλαυκα ἑκάςης. ΜΙΚ. Λέγοις ἄν, ὡς ἔμοιγε ὑπερήδιςον ἂν τὸ ἄκυσμα γένοι]ο· ὥςε εἴ τις αἵρεσιν προθείη, πότερον μᾶλλον ἐθέλω σῦ ἀκύειν τὰ τοιαῦτα διεξιόν]ος, ἢ τὸν πανευδαίμονα ὄνειρον ἐκεῖνον αὖθις ὁρᾷν τὸν μικρὸν ἔμπροσθεν, ὐκ οἶδα ὁπότερον ἂν ἑλοίμην, ὕτως ἀδελφὰ ἡγῦμαι τὰ σὰ τοῖς ἡδίςοις φανεῖσι· καὶ ἐν ἴσῃ τιμῇ ὑμᾶς ἄγω, σέ τε, καὶ τὸ πολυ]ίμη]ον ἐνύπνιον. ΑΛΕΚ. Ἔτι γὰρ σὺ ἀναπεμπάζῃ τὸν ὄνειρον, ὅςις ποὲ ὁ φανείς σοι ἦν, καί τινα ἰνδάλμα]α μάταια διαφυλάτ]εις, κενὴν, καὶ ὡς ὁ ποιη]ικὸς

ποιητικὸς λόγος, ἀμενηνήν τινα εὐδαιμονίαν τῇ μνήμῃ μεταδιώκων;

6. ΜΙΚ. Ἀλλ' οὐδ' ἐπιλήσομαί ποτε, ὦ Ἀλεκτρυών, εὖ ἴσθι, τῆς ὄψεως ἐκείνης· οὕτως μοι πολὺ τὸ μέλι ἐν τοῖς ὀφθαλμοῖς ὁ ὄνειρος καταλιπὼν ᾤχετο, ὡς μόγις ἀνοίγειν τὰ βλέφαρα ὑπ' αὐτοῦ, εἰς ὕπνον αὖθις κατασπώμενα. Οἷόν οὖν ἐν τοῖς ὠσὶ τὰ πτερὰ ἐργάζεται στρεφόμενα, τοιοῦτον γάργαλον παρείχετό μοι τὰ ὁρώμενα. ΑΛΕΚ. Ἡράκλεις, δεινόν τινα φὴς τὸν ἔρωτα [2] τοῦ ἐνυπνίου, εἴγε πτηνὸς ὤν, ὥς φασι, καὶ ὅρον ἔχων τῆς πτήσεως τὸν ὕπνον, ὑπὲρ τὰ ἐσκαμμένα ἤδη πηδᾷ, καὶ ἐνδιατρίβει ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς, μελιχρὸς οὕτω, καὶ ἐναργὴς φαινόμενος. Ἐθέλω γοῦν ἀκοῦσαι οἷός τις ἐστὶν οὕτω σοι τριπόθητος ἄν. ΜΙΚ. Ἕτοιμος λέγειν· ἡδὺ γοῦν τὸ μεμνῆσθαι καὶ διεξιέναι τε περὶ αὐτοῦ. Σὺ δὲ πηνίκα, ὦ Πυθαγόρα, διηγήσῃ τὰ περὶ τῶν μεταβολῶν; ΑΛΕΚ. Ἐπειδὰν σύ, ὦ Μίκυλλε, παύσῃ ὀνειρώττων, καὶ ἀποψήσῃ ἀπὸ τῶν βλεφάρων τὸ μέλι. Τὸ νῦν δὲ, πρότερος εἰπὲ, ὡς μάθω [3] εἴτε διὰ τῶν ἐλεφαντίνων πυλῶν, εἴτε διὰ τῶν κε-

2 Τοῦ ἐνυπνίου, εἴγε πτηνὸς ὢν] Ὑποσόλοικον, ut etiam μελιχρὸς, &c; neque dixeris hæc referri ad vocem ἔρωτα, disconvenit enim. Planè quidem hoc Luciani festinantis, et de re ipsâ magìs quàm dictione cogitantis παρόραμα. Marcilius.

3 Εἴτε διὰ τῶν ἐλεφαντίνων, &c] Λέγει Ὅμηρος διὰ μὲν τῶν ἐλεφαντίνων πυλῶν τοὺς ψευδεῖς ὀνείρους ἔρχεσθαι, διὰ δὲ τῶν κερατίνων τοὺς ἀληθεῖς. Schol. Vid. Od. τ'. v. 562. et Virg. Æn. 6. v. 893.

Sunt geminæ Somni portæ, &c.

ρατίνων

ρατίνων σοι ὁ ὄνειρος ἧκε πετόμενος. ΜΙΚ. Οὐδὲ δι' ἑτέρας τούτων, ὦ Πυθαγόρα. ΑΛΕΚ. Καὶ μὴν Ὅμηρος δύο ταύτας μόνας λέγει. ΜΙΚ. Ἔα χαίρειν τὸν λῆρον ἐκεῖνον ποιητὴν, οὐδὲν εἰδότα ὀνείρων πέρι. Οἱ πένητες ἴσως ὄνειροι διὰ τῶν τοιούτων ἐκφοιτῶσιν, οἵους ἐκεῖνος ἑώρα, οὐδὲ πάνυ σαφῶς, τυφλὸς αὐτὸς ὤν. ἐμοὶ δὲ διὰ χρυσῶν τινων πυλῶν ὁ ἥδιστος ἀφίκετο, χρυσοῦς καὶ αὐτὸς, καὶ χρυσᾶ πάντα περιβεβλημένος, καὶ πολὺ ἐπαγόμενος χρυσίον. ΑΛΕΚ. Παῦε, [4] ὦ Μίδα βέλτιστε, χρυσολογῶν· ἀτεχνῶς γάρ ἐκ τῆς ἐκείνου σοι εὐχῆς τὸ ἐνύπνιον· καὶ μέταλλα ὅλα χρυσία κεκομίσθαι μοι δοκεῖς.

7. ΜΙΚ. Πολὺ, ὦ Πυθαγόρα, χρυσίον εἶδον, πολὺ, πῶς οἴει καλόν; οἵαν τὴν αὐγὴν ἀπαστράπτον; τί ποτε ὁ Πίνδαρός φησι περὶ αὐτοῦ ἐπαινῶν; ἀνάμνησον γάρ με, εἴπερ οἶσθα, ὁπότε ὕδωρ ἄριστον εἰπὼν, εἶτα τὸ χρυσίον θαυμάζει, εὖ ποιῶν, ἐν ἀρχῇ εὐθὺς τοῦ καλλίστου τῶν ᾀσμάτων ἁπάντων. ΑΛΕΚ. Μῶν ἐκεῖνο ζητεῖς, [5] Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ, μεγάνορος ἔξοχα

4 Ὦ Μίδα] Λέγεται ὁ Μίδας πάνυ ὢν φιλόχρυσος, ὅτι ηὔξατο πᾶν πρᾶγμα, οὗ ἂν ἅψηται, χρυσοῦν γίνεσθαι. Φασὶ δὲ, ὅτι καὶ ἀπὸ τούτου ἀπέθανε· καὶ αὐτὴ γὰρ ἡ τροφὴ, ἧς ἥπτετο, ἐγίνετο. Schol.

5 Ἄριστον μὲν ὕδωρ, &c. Vid. Pind. Od. 1.

πλούτου;

πλούτου; ΜΙΚ. Νὴ Δία, αὐτὸ τοῦτο. Ὥσπερ γὰρ τοὐμὸν ἐνύπνιον ἰδὼν ὁ Πίνδαρος, οὕτως ἐπαινεῖ τὸ χρυσίον. Ὡς δὲ ἤδη μάθης οἷόν τι ἦν, ἄκουσον, ὦ σοφώτατε Ἀλεκτρυών· ὅτι μὲν οὐκ οἰκόσιτος ἦν χθὲς, οἶσθα· [6] Εὐκράτης γάρ με ὁ πλούσιος ἐντυχὼν ἐν ἀγορᾷ, λουσάμενον ἥκειν ἐκέλευε τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.

8. ΑΛΕΚ. Οἶδα πάνυ τοῦτο, πεινάσας παρ' ὅλην τὴν ἡμέραν, ἄχρι μοι, βαθείας ἤδη ἑσπέρας, ἧκες ὑποβεβρεγμένος, τοὺς πέντε ἐκείνους κυάμους κομίζων, οὐ πάνυ δαψιλὲς τὸ δεῖπνον Ἀλεκτρυόνι, ἀθλητῇ ποτε γενομένῳ, καὶ Ὀλύμπια οὐκ ἀφανῶς ἀγωνισαμένῳ. ΜΙΚ. Ἐπεὶ δὲ δειπνήσας ἐπανῆλθον, ἐκάθευδον εὐθὺς, τοὺς κυάμους σοι παραβαλών· εἶτά μοι [7] κατὰ τὸν Ὅμηρον, ἀμβροσίην διὰ νύκτα θεῖός τις ὡς ἀληθῶς ὄνειρος ἐπιστάς. ΑΛΕΚ. Τὰ παρὰ τῷ Εὐκράτει πρότερον, ὦ Μίκυλλε, διήγησαι, καὶ τὸ δεῖπνον, οἷον ἐγένετο, καὶ τὰ ἐν τῷ συμποσίῳ πάντα· κωλύει γὰρ οὐδὲν αὖθίς σε δειπνεῖν, ὥσπερ ὄνειρόν τινα τοῦ δείπνου ἐκείνου προάγοντα, καὶ ἀναμηρυκώμενον τῇ μνήμῃ τὰ βεβρωμένα.

6 Εὐκράτης] Οὗτος παρ' Ἀθηναίοις ἦν πλούσιος. Schol.

7 Κατὰ τὸν Ὅμηρον, &c.] Vid. Il. β'. v. 57.

——Θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος
Ἀμβροσίην διὰ νύκτα——

sed irrumpente Sermonem Gallo, imperfecta est sententia.

9. ΜΙΚ.

§ 9. ΜΙΚ. ᾤμην ἐνοχλήσειν, καὶ ταῦτα διηγέμενος. Ἐπεὶ δὲ σὺ προθυμῇ, καὶ δὴ λέγω· ἐ πρότερον, ὦ Πυθαγόρα, παρὰ πλεσίῳ τινὶ δειπνήσας ἐν ἅπαντι τῷ βίῳ, τύχῃ τινὶ ἀγαθῇ ἐντυγχάνω χθὲς τῷ Εὐκράτει· καὶ ἐγὼ μὲν προσειπὼν αὐτὸν, ὥσπερ εἰώθειν, δεσπότην ἀπηλλαττόμην, ὡς μὴ καταισχύναιμι αὐτὸν, ἐν πενιχρῷ τῷ τρίβωνι συμπαρομαρτῶν. Ὁ δὲ, Μίκυλλε, φησὶ, θυγατρὸς τήμερον ἑστιῶ [8] γενέθλια, καὶ παρεκάλεσα τῶν φίλων μάλα πολλές· ἐπεί δὲ τινά φασιν αὐτῶν μαλακῶς ἔχοντα, ἐχ᾽ οἷόν τε εἶναι ξυνδειπνεῖν μεθ᾽ ἡμῶν, σύ ἀντ᾽ ἐκείνε ἧκε λεσάμενος· ἢν μὴ ὅγε κληθεὶς αὐτὸς εἴπῃ ἀφίξεσθαι· ὡς νῦν γε ἀμφίβολός ἐστι. Τῦτο ἀκέσας ἐγὼ, προσκυνήσας, ἀπῄειν εὐχόμενος ἅπασι θεοῖς ἠπίαλόν τινα, ἢ πλευρῖτιν, ἢ ποδάγραν ἐπιπέμψαι τῷ μαλακιζομένῳ ἐκείνῳ, ἕ ἔφεδρος ἐγὼ, καὶ ἀντίδειπνος, καὶ διάδοχος ἐκεκλήμην· καὶ τὸ ἄχρι λετρῦ αἰῶνα μήκιστον ἐτιθέμην, συνεχὲς ἐπισκοπῶν ὁποσόπεν τὸ [9] στοιχεῖον εἴη, καὶ πηνίκα ἤδη λελῦσθαι δέοι. Κἀπειδή ποτε ὁ καιρὸς ἀφίκετο, πρὸς τάχος ἐμαυτὸν ἀπορρίψας ἀπέρχομαι, κοσμίως μάλα ἐσχηματισμένος, ἀντιστρέψας τὸ τριβώνιον, ὡς ἐπὶ τῦ καθαρωτέρυ γένοιτο ἡ ἀναβολή.

8 Γενέθλια) Scilicet συμπόσιον.

9 Τὸ στοιχεῖον] Στοιχεῖον ἐνταῦθα λέγει τὴν τῦ ἡλίε σκιάν. Schol. ——— Veteres enim ante horologia inventa ad umbram aut solarii aut suorum corporum tempus mensurabant.

10. Καταλαμβάνω τε πρὸς ταῖς θύραις ἄλλους τε πολλοὺς, καὶ δὴ κἀκεῖνον, φοράδην ὑπὸ τεττάρων κεκομισμένον, ᾧ με ὑποδειπνεῖν ἔδει, τὸν νοσεῖν λεγόμενον, καὶ ἐδήλου δὲ πονήρως ἔχων· ὑπέπτυε γοῦν, καὶ ὑπέβηττε, καὶ ἐνεχρέμπτετο μύχιόν τι καὶ δυσπρόσοδον, ὠχρὸς ὢν ὅλος, καὶ διῳδηκὼς, ἀμφὶ τὰ ἑξήκοντα ἔτη σχεδόν· ἐλέγετο δὲ φιλόσοφός τις εἶναι τῶν πρὸς τὰ μειράκια φλυαρούντων. Ὁ γοῦν πώγων μάλα τραγικὸς ἦν, ἐς ὑπερβολὴν κουριῶν· καὶ αἰτιωμένου δὲ Ἀρχιβίου τοῦ ἰατροῦ, διότι οὕτως ἔχων ἀφίκετο, τὰ καθήκοντα, ἔφη, οὐ χρὴ προδιδόναι, καὶ ταῦτα φιλόσοφον ἄνδρα, κἂν μύριαι νόσοι ἐμποδὼν ἵστωνται· ἡγήσεται γὰρ Εὐκράτης ὑπερεωρᾶσθαι πρὸς ἡμῶν. Οὐμενοῦν, εἶπον ἐγὼ, ἀλλ' ἐπαινέσεταί σε, ἢν οἴκοι παρὰ σεαυτῷ μᾶλλον ἀποθανεῖν ἐθέλοις, ἤπερ ἐν τῷ συμποσίῳ συναναχρεμψάμενος τὴν ψυχὴν μετὰ τοῦ φλέγματος. Ἐκεῖνος μὲν οὖν ὑπὸ μεγαλοφροσύνης, οὐ προσεποιεῖτο ἀκηκοέναι τοῦ σκώμματος. Ἐφίσταται δὲ μετὰ μικρὸν ὁ Εὐκράτης λελουμένος, καὶ ἰδὼν τὸν Θεσμόπολιν (τοῦτο γὰρ ὁ φιλόσοφος ἐκαλεῖτο) Διδάσκαλε, φησιν, εὖ μὲν ἐποίησας αὐτὸς ἥκων πρὸς ἡμᾶς· οὐ μεῖον δ' ἄν τί σοι ἐγένετο· καὶ ἀπόντι γὰρ ἅπαντα ἑξῆς ἐπέσταλτο ἄν· καὶ ἅμα λέγων, εἰσῄει χεῖρας ὀρέγων αὐτῷ, ἐπερειδομένῳ καὶ τοῖς οἰκέταις.

11. Ἐγὼ μὲν ἂν ἀπίεναι παρεσκευαζόμην· ὁ δὲ ἐπιστραφεὶς, καὶ ἐπιπολὺ ἐνδοιάσας ἐπεί με πάνυ σκυθρωπὸν εἶδε, πάριθι, ἔφη, καὶ σὺ, ὦ Μίκυλλε, καὶ συνδείπνει μεθ' ἡμῶν· τὸν υἱὸν γὰρ ἐγὼ κελεύσω ἐν τῇ γυναικωνίτιδι μετὰ τῆς μητρὸς ἑστιαθῆναι, ὡς σὺ χώραν ἔχῃς, εἰσήειν οὖν ° μάτην λύκος χανὼν παρὰ μικρὸν, αἰσχυνόμενος, ὅτι ἐδόκουν ἐξεληλακέναι τοῦ συμποσίου τὸ παιδίον τοῦ Εὐκράτους. Κἀπειδὴ κατακλίνεσθαι καιρὸς ἦν, πρῶτον μὲν ἀράμενοι ἀνέθεσαν τὸν Θεσμόπολιν, οὐκ ἀπραγμόνως, νὴ Δία, πέντε, οἶμαι, νεανίσκοι εὐμεγέθεις, ὑπαυχένια περιβύσαντες αὐτῷ πάντοθεν, ὡς διαμένοι ἐν τῷ σχήματι, καὶ ἐπιπολὺ καρτερεῖν δύναιτο. Εἶτα μηδενὸς ἀνεχομένου πλησίον κατακεῖσθαι αὐτοῦ, ἐμὲ κατακλίνουσι φέροντες, ὡς ὁμοτράπεζοι εἴημεν. Τοὐντεῦθεν ἐδειπνοῦμεν, ὦ Πυθαγόρα, πολύοψόν τι καὶ ποικίλον δεῖπνον, ἐπὶ χρυσοῦ πολλοῦ, καὶ ἀργύρου· καὶ ἐκπώματα ἦν χρυσᾶ, καὶ διάκονοι ὡραῖοι, καὶ μουσουργοὶ, καὶ γελωτοποιοί· καὶ ὅλως, ἡδίστη τις ἦν ἡ διατριβή· πλὴν ἀλλὰ ἕν με ἐλύπει οὐ μετρίως, ὁ Θεσμόπολις ἐνοχλῶν, καὶ ἀρετήν τινα πρός με διεξιὼν καὶ διδάσκων, ὡς αἱ δύο ἀποφάσεις μίαν κατάφασιν ἀποτελοῦσι, καὶ ὡς εἰ ἡμέρα ἐστὶ, νὺξ οὐκ

° Μάτην λύκος, &c.] Παροιμία ἐπὶ τῶν ἐλπιζόντων τι, καὶ παρ' ἐλπίδας ἀποτυγχανόντων. Schol. *Aiunt enim lupum prædæ inhiantem rictu late deducto occurrere; quâ si frustretur, obambulare inhiantem.* Vid. Erasm. Adag.

ἐστιν.

ἐστιν. Ἐνίοτε δὲ, καὶ κέρατα ἔφασκεν εἶναί μοι· καὶ τοιαῦτα πολλὰ οὐδὲν δεομένῳ προσφιλοσοφῶν συνείρει, καὶ ὑπετέμνετο τὴν εὐφροσύνην, οὐκ ἐῶν ἀκούειν τῶν κιθαριζόντων, ἢ ᾀδόντων. Τοῦτο μέν σοι, ὦ Ἀλεκτρυὼν, τὸ δεῖπνον. ΑΛΕΚ. Οὐχ ἥδιστον, ὦ Μίκυλλε, καὶ μάλιστα ἐπεὶ συνεκληρώθης τῷ λήρῳ ἐκείνῳ γέροντι.

12. ΜΙΚ. Ἄκουε δὴ καὶ τὸ ἐνύπνιον· ᾤμην γὰρ τὸν Εὐκράτην αὐτὸν ἄπαιδα ὄντα, οὐκ οἶδ᾽ ὅπως ἀποθνήσκειν· εἶτα προσκαλέσαντά με, καὶ διαθήκας θέμενον, ἐν αἷς ὁ κληρονόμος ἦν ἁπάντων ἐγὼ, [1] μικρὸν ἐπισχόντα, ἀποθανεῖν· ἐμαυτὸν δὲ παρελθόντα ἐς τὴν οὐσίαν, τὸ μὲν χρυσίον, καὶ τὸ ἀργύριον, ἐξαντλεῖν σκάφαις τισὶ μεγάλαις, ἀέναόν τε καὶ πολὺ ἐπιῤῥέον· τὰ δ᾽ ἄλλα, τὴν ἐσθῆτα, καὶ τραπέζας, καὶ ἐκπώματα, καὶ διακόνους, πάντα ἐμὰ, ὡς τὸ εἰκὸς, εἶναι. Εἶτα ἐξήλαυνον ἐπὶ λευκοῦ ζεύγους ἐξυπτιάζων, περίβλεπτος ἅπασι τοῖς ὁρῶσι, καὶ ἐπίφθονος. Καὶ προέθεον πολλοὶ, καὶ περιίππευον, καὶ εἵποντο πλείους. Ἐγὼ δὲ, τὴν ἐσθῆτα τὴν ἐκείνου ἔχων, καὶ δακτυλίους βαρεῖς, ὅσον ἑκκαίδεκα, ἐξημμένους τῶν δακτύλων, ἐκέλευον ἑστίασίν τινα λαμπρὰν εὐτρεπισθῆναι ἐς ὑποδοχὴν τῶν φίλων. Οἱ δὲ, ὡς ἐν ὀνείρῳ εἰκὸς, ἤδη παρῆσαν, καὶ τὸ δεῖπνον ἄρτι συνεκομίζετο, καὶ ὁ

[1] Μικρὸν ἐπισχόντα] Scilicet χρόνον.

πότος

πότος συνεκροτεῖτο· ἐν τούτῳ ὄντα με, καὶ [2] φιλοτησίας προπίνοντα ἐν χρυσαῖς φιάλαις ἑκάστῳ τῶν παρόντων, ἤδη τοῦ πλακοῦντος εἰσκομιζομένου, ἀναβοήσας ἀκαίρως, συνετάραξας μὲν ἡμῖν τὸ συμπόσιον, ἀνέτρεψας δὲ τὰς τραπέζας, τὸν δὲ πλοῦτον ἐκεῖνον διασκεδάσας, ὑπηνέμιον φέρεσθαι παρεσκεύασας. Ἆρά σοι ἀλόγως ἀγανακτῆσαι κατὰ σοῦ δοκῶ; ὡς τριέσπερον ἂν ἡδέως ἔτι εἶδον τὸ ὄνειρόν μοι γενόμενον.

13. ΑΛΕΚ. Οὕτω φιλόχρυσος, καὶ φιλόπλουτος, ὦ Μίκυλλε; καὶ μόνον τοῦτο ἐξ ἅπαντος θαυμάζεις, καὶ ἡγῇ εὔδαιμον εἶναι πολὺ κεκτῆσθαι χρυσίον; ΜΙΚ. Οὐκ ἐγὼ μόνος, ὦ Πυθαγόρα, τοῦτο, ἀλλὰ καὶ σὺ αὐτὸς, ὁπότε Εὔφορβος ἦσθα, [3] χρυσὸν καὶ ἄργυρον ἐξημμένος τῶν βοστρύχων, οὕτω ἐξῄεις πολεμήσων τοῖς Ἀχαιοῖς, καὶ ἐν τῷ πολέμῳ, ἔνθα σιδηροφορεῖν μᾶλλον ἢ χρυσοφορεῖν ἄμεινον ἦν· σὺ δὲ καὶ τότε ἠξίους χρυσῷ διαδεδεμένους τοὺς πλοκάμους ἔχων, διακινδυνεύειν· καὶ μοι δοκεῖ Ὅμηρος διὰ τοῦτο Χαρίτεσσιν ὁμοίας εἰπεῖν σου τὰς κόμας, ὅτι χρυσῷ τε,

2 Φιλοτησίας] Φιλοτησίαν προπίνειν ἐστὶν, ἡνίκα τὶς ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος. Schol.

3 Χρυσὸν καὶ ἄργυρον] Vid. Hom. Il. ρ΄. v. 50. ubi mortem ejus describit,

Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἵματί οἱ δεύοντο κόμαι, χαρίτεσσιν ὁμοῖαι·
Πλοχμοί θ', οἳ χροσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

καὶ

καὶ ἀργύρῳ ἐσφηκῶνῖο· μακρῷ γὰρ ἀμείνους δηλαδὴ, καὶ ἐρασμιώτεραι ἐφαίνονῖο, συναναπεπλεγμέναι τῷ χρυσίῳ, καὶ συναπολάμπουσαι μετ' αὐτοῦ. Καίτοι [4] τὰ μὲν σὰ, ὦ χρυσοκόμη, μέτρια, [5] εἰ Πάνθου υἱὸς ὢν, ἐτίμας τὸ χρυσίον· ὁ δὲ πάνῖων θεῶν πατὴρ, καὶ ἀνδρῶν, ὁ Κρόνου καὶ Ῥέας, ὁπότε ἠράσθη [6] τῆς Ἀργολικῆς ἐκείνης μείρακος, οὐκ ἔχων εἰς ὅ, τι ἐρασμιώτερον αὐτὸν μεταβάλοι, οὐδὲ ὅπως ἂν διαφθείρειε τοῦ Ἀκρισίου τὴν φρουρὰν, ἀκούεις ἤδη πῶς ὡς χρυσίον ἐγένεῖο, καὶ ῥυεὶς διὰ τοῦ τέγους συνῆν τῇ ἀγαπωμένῃ. Ὥστε τί ἄν σοι τὸ ἐπὶ τούτῳ ἔτι λέγοιμι; ὅσας μὲν χρείας παρέχεῖαι ὁ χρυσὸς, ὡς δὲ, οἷς ἂν παρῇ, καλούς τε αὐτοὺς καὶ σοφοὺς, καὶ ἰσχυροὺς ἀπεργάζεῖαι, τιμὴν καὶ δόξαν συνάπῖων, καὶ ἐξ ἀφανῶν καὶ ἀδόξων ἐνίοῖε περιβλέπῖους καὶ ἀοιδίμους ἐν βραχεῖ τίθησι;

4 Τὰ μὲν σὰ, &c.] Subauditur πράγμαῖα ad verbum, *tua facta erant modesta*; i. e. *quæ tu fecisti, non alia sunt, quam quæ fieri solent*. Leeds.

5 Εἰ Πάνθου υἱὸς ὢν, &c.] De Pantho non aliud lego, quam quod erat filius Otrei, et Apollinis Sacerdos; neque opinor Lucianum hic eum taxare, quasi cæteris hominibus esset auri avidior; sed noluit videri mirum, si Euphorbus Pantho, *i. e.* Mortali genitus, tanti æstimaret aurum, cùm Jovem ipsum ea facere non puduerit. Leeds.

6 Τῆς Ἀργολικῆς ἐκείνης μείρακος] Τῆς Δανάης τοῦ Ἀκρισίου. Ὁ δὲ Ἀκρίσιος βασιλεὺς ὢν τοῦ Ἄργους, ἔλαβε χρησμὸν, ὅτι ὁ γενόμενος ἀπὸ τῆς θυγαῖρὸς αὐτοῦ Δανάης φονεύσει αὐτόν. Καὶ διὰ τοῦτο φοβηθεὶς ἀπέκλεισεν αὐτὴν ἐν χαλκῷ· καὶ ὁ Ζεὺς ἐρασθεὶς αὐτῆς, μετεβλήθη εἰς χρυσὸν, καὶ ἔφθειρεν αὐτὴν, εἰσελθὼν διὰ τοῦ δώμαῖος. Schol.

14. Τὸν

14. Τὸν γείτονα γοῦν μοι τὸν ὁμότεχνον οἶσθα, τὸν Σίμωνα, ὃς πρὸ πολλοῦ δειπνήσαντα παρ' ἐμοὶ ὅτε τὸ ἔτνος ἧψον τοῖς [7] Κρονίοις, δύο τόμους τοῦ ἀλλᾶντος ἐμβαλών. ΑΛΕΚ. Οἶδα, τὸν σιμὸν, τὸν βραχὺν, ὃς τὸ κεραμεοῦν τρύβλιον ὑφελόμενος, ᾤχετο ὑπὸ μάλης ἔχων, μετὰ τὸ δεῖπνον, ὃ μόνον ἡμῖν ὑπῆρχεν· εἶδον γὰρ αὐτὸς, ὦ Μίκυλλε. ΜΙΚ. Οὐκοῦν ἐκεῖνος αὐτὸ κλέψας, [8] εἶτα ἐπωμόσατο θεοὺς τοσούτους· ἀλλὰ τί οὐκ ἐμήνυες, καὶ ἐβόας τότε, ὦ Ἀλεκτρυὼν, λῃζομένους ἡμᾶς ὁρῶν; ΑΛΕΚ. Ἐκόκκυζον, ὃ μόνον μοι τότε δυνατὸν ἦν. Τί δ' οὖν ὁ Σίμων; ἐῴκεις γάρ τι περὶ αὐτοῦ ἐρεῖν. ΜΙΚ. Ἀνεψιὸς ἦν αὐτῷ πλούσιος ἐς ὑπερβολὴν, Δριμύλος τοὔνομα· οὗτος ζῶν μὲν οὐδὲ ὀβολὸν ἔδωκε τῷ Σίμωνι· πῶς γὰρ, ὃς οὐδὲ αὐτὸς ἥπτετο τῶν χρημάτων; ἐπεὶ δὲ ἀπέθανε πρώην [9] ἅπαντα ἐκεῖνα κατὰ τοὺς νόμους, Σίμων ὁ τὰ ῥάκια τὰ πινάρα, ὁ τὸ τρύβλιον περιλείχων, ἄσμενος ἐξελαύνει, ἁλουργῆ καὶ ὑσγινοβαφῆ ἀμπεχόμενος, οἰκέτας, καὶ ζεύγη, καὶ χρυσᾶ ἐκπώματα, καὶ ἐλεφαντόποδας τραπέζας ἔχων, ὑφ' ἁπάντων προσκυνούμενος, οὐδὲ προσ-

7. Κρονίοις] Festa erant in Saturni honorem, mense Decembri celebrata, quibus servi cum Dominis ad eandem mensam discumbebant, in memoriam scilicet aurei illius sæculi, quo regnabat Saturnus; quando nemo dominus, sed omnes pares. Leeds.

8 Εἶτα ἐπωμόσατο] Nempe ἑαυτὸν μὴ κεκλοφέναι. Leeds.

9 Ἅπαντα ἐκεῖνα, &c.] Nihil est a quo hæc verba ἅπαντα ἐκεῖνα pendeant; supple igitur, ut perfecta sit sententia, Πρὸς Σίμωνα κατῆλθον, καὶ νῦν Σίμων, &c.

βλέπων ἔτι ἡμᾶς. Ἔναγχος γοῦν ἐγὼ μὲν ἰδὼν προσιόντα, Χαῖρε, ἔφην, ὦ Σίμων, ὁ δὲ ἀγανακτήσας, [o] Εἴπατε, ἔφη, τῷ πτωχῷ, μὴ κατασμικρύνειν μου τοὔνομα· οὐ γὰρ Σίμων, ἀλλὰ Σιμωνίδης ὀνομάζομαι· τὸ δὲ μέγιστον, ὅτι καὶ ἐρῶσιν αὐτοῦ καὶ αἱ γυναῖκες· ὁ δὲ θρύπτεται καὶ πρὸς ταύτας, καὶ ὑπερορᾷ, καὶ τὰς μὲν προσίεται, καὶ ἵλεως ἐστιν, αἱ δὲ ἀπειλοῦσιν ἀνελεῖν αὐτὰς ἀμελούμεναι. Ὁρᾷς ὅσων ἀγαθῶν ὁ χρυσὸς αἴτιος, εἴγε καὶ μεταποιεῖ τοὺς ἀμορφοτέρους, καὶ ἐρασμίους ἀπεργάζεται, [1] ὥσπερ ὁ ποιητικὸς ἐκεῖνος κεστός· ἀκούεις δὲ καὶ τῶν ποιητῶν λεγόντων,

> Ὦ χρυσὲ δεξίωμα κάλλιστον κτέρας. Καί,
> Χρυσὸς γὰρ ἐστιν, ὃς βροτῶν ἔχει κράτη.

Ἀλλὰ τί μεταξὺ ἐγέλασας, ὦ Ἀλεκτρυών;

15. ΑΛΕΚ. Ὅτι ὑπ' ἀγνοίας, ὦ Μίκυλλε, καὶ σὺ τὰ ὅμοια τοῖς πολλοῖς ἐξηπάτησαι περὶ τῶν

o Εἴπατε] Alloquitur, qui secuti sunt eum, clientes et servos; et in plurali numero, sicut decet virum divitem et superbum, ut scilicet pateret, neminem ejus verba audire non esse paratissimum. Leeds.

1 Ὥσπερ ὁ ποιητικὸς ἐκεῖνος κεστός] Hunc olim Junoni, quo amorem Jovis conciliaret, mutuum dedit Venus. Vid. Hom. Il. ξ. v. 214. ubi Venus

> ——————ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,
> Ποικίλον· ἐνθάδε οἱ θελκτήρια πάντα τέτυκτο·
> Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς,
> Πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.

πλουσίων·

πλουσίων· οἱ δ', εὖ ἴσθι, πολὺ ἀθλιώτερον ὑμῶν τὸν βίον βιοῦσι· λέγω δέ σοι, καὶ πένης, καὶ πλούσιος πολλάκις γενόμενος, καὶ ἅπαντος βίου πεπειραμένος· μετὰ μικρὸν δὲ καὶ αὐτὸς εἴσῃ ἕκαστα. ΜΙΚ. Νὴ Δία, καιρὸς γοῦν ἤδη καὶ σὲ εἰπεῖν ὅπως ἠλλάγης, καὶ ἃ σύνοισθα τῷ βίῳ ἑκάστῳ. ΑΛΕΚ. Ἄκουε, τοσοῦτόν γε προειδώς, μηδένα μὲ σοῦ εὐδαιμονέστερον βιοῦντα ἑωρακέναι. ΜΙΚ. Ἐμοῦ, ὦ Ἀλεκτρυών; οὕτω σοὶ γένοιτο· προάγεις γάρ με λοιδορεῖσθαί σοι· ἀλλὰ εἰπὲ ἀπὸ Εὐφόρβου ἀρξάμενος, ὅπως ἐς Πυθαγόραν μετεβλήθης, εἶτα ἑξῆς ἄχρι τοῦ Ἀλεκτρυόνος· εἰκὸς γάρ σε ποικίλα καὶ ἰδεῖν, καὶ παθεῖν ἐν πολυειδέσι τοῖς βίοις.

16. ΑΛΕΚ. [2] Ὡς μὲν ἐξ Ἀπόλλωνος τὸ πρῶτον ἡ ψυχή μοι καταπταμένη εἰς τὴν γῆν ἐνέδυ ἐς ἀνθρώπου σῶμα, [3] ἥν τινα τὴν καταδίκην ἐκτελοῦσα,

2 Ὡς μὲν ἐξ Ἀπόλλωνος, &c.] Pythagoræ animam ab Apolline ad homines missam fuisse affirmat Iamblichus in vitâ Pythagoræ, c. 2. Animam autem priorem esse corpore à Pythagorâ docuit Plato in Timæo, et alatam esse in Phædone. Leeds.

3 Ἥν τινα τὴν καταδίκην] Memorat Clemens Alexandrinus Strom. lib. 3. Philolaum Pythagoricum sic dixisse, Μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε, καὶ μάντεις, ὡς διὰ τινὰς τιμωρίας ἁ ψυχὴ τῷ σώματι συνέζευκται, καὶ, καθάπερ ἐν σάματι, τούτῳ τέθαπται· hoc est, *testantur autem veteres Theologi, et vates, quòd propter aliqua luenda supplicia animo conjuncta sit corpori, et in eo, tanquam in sepulchro, condatur.* Hujus sententiæ Orpheum esse autorem tradit Plato in Cratylo. Leeds.

μακρὸν ἂν εἴη λέγειν, ἄλλως τε, οὔτε ὅσιον οὔτε ἐμοὶ εἰπεῖν, οὔτε σοὶ ἀκούειν τὰ τοιαῦτα. Ἐπεὶ δὲ Εὔφορβος ἐγενόμην. ΜΙΚ. Ἐγὼ δὲ πρό γε τούτου, ὦ θαυμάσιε, τίς ἦν; τοῦτό μοι πρότερον εἰπὲ, εἰ κἀγώ ποτε ἠλλάγην ὥσπερ σύ. ΑΛΕΚ. Καὶ μάλα. ΜΙΚ. Τίς οὖν ἦν, εἴ τι ἔχεις εἰπεῖν; ἐθέλω γὰρ τοῦτο εἰδέναι. ΑΛΕΚ. Σὺ [4] μύρμηξ Ἰνδικὸς, τῶν τὸ χρυσίον ἀνορυττόντων. ΜΙΚ. Εἶτα ὤκνουν ὁ κακοδαίμων ὀλίγον τῶν ψηγμάτων ἥκειν ἐς τὸν βίον ἐξ ἐκείνου ἐπισιτισάμενος; ἀλλὰ καὶ τί μετὰ τοῦτο ἔσομαι, εἰπέ. Εἰκὸς γὰρ εἰδέναι σε· εἰ γάρ τι ἀγαθὸν εἴη, ἀπάγξομαι ἤδη ἀναστὰς ἀπὸ τοῦ πατάλου, ἐφ' οὗ σὺ ἕστηκας. ΑΛΕΚ. Οὐκ ἂν μάθοις τοῦτο οὐδεμιᾷ μηχανῇ.

17. Πλὴν ἀλλὰ ἐπείπερ Εὔφορβος ἐγενόμην, (ἐπάνειμι γὰρ ἐπ' ἐκεῖνα) ἐμαχόμην ἐν Ἰλίῳ, καὶ ἀποθανὼν ὑπὸ Μενελάῳ, χρόνῳ ὕστερον ἐς Πυθαγόραν ἧκον. Τέως δὲ περιέμενον ἄοικος ἑστὼς, [5] ἄχρι δὴ ὁ Μνήσαρ-

4 Μύρμηξ Ἰνδικὸς] De his formicis Propertius lib. Eleg. 13.

Inda cavis aurum mittit formica metallis:

et mira de iisdem narrat Plin. lib. c. 31. esse colore felium, magnitudine Ægypti luporum, Indos à se furantes, quòd effoderant aurum è cavernis, sollicitatas odore sequi, et quamvis prævelocibus camelis fugientes assequi etiam et lacerare. Huic non multum absimile narrat etiam Herodotus in Thaliâ. Leeds.

5 Ἄχρι δὴ ὁ Μνήσαρχος, &c.] *i. e.* Donec pater Mnesarchus me genuit: corpus *domum* vocat. Leeds.

χος

χος ἐξεργάσηταί μοι τὸν οἶκον. ΜΙΚ. Ἄσιτος οὖν, ὦ τᾶν, καὶ ἄποτος; ΑΛΕΚ. Καὶ μάλα, οὐδὲ γὰρ ἔδει τούτων ἢ μόνῳ τῷ σώματι. ΜΙΚ. Οὐκοῦν τὰ ἐν Ἰλίῳ πρότερόν μοι εἰπέ· τοιαῦτα ἦν, οἷά φησιν Ὅμηρος γενέσθαι αὐτά; ΑΛΕΚ. Πόθεν ἐκεῖνος ἠπίστατο, ὦ Μίκυλλε, ὃς, γιγνομένων ἐκείνων, κάμηλος[6] ἐν Βάκτροις ἦν; ἐγὼ δὲ τοσοῦτόν σοί φημι ὑπερφυὲς μηδὲν γενέσθαι τότε, μήτε τὸν Αἴαντα οὕτω μέγαν, μήτε τὴν Ἑλένην αὐτὴν οὕτω καλὴν, ὡς οἴονται· εἶδον γὰρ λευκὴν μέν τινα, καὶ ἐπιμήκη τὸν τράχηλον, ὡς εἰκάζειν[7] κύκνου θυγατέρα εἶναι· τἄλλα δὲ, πάνυ πρεσβῦτιν, ἡλικιῶτιν σχεδὸν τῆς Ἑκάβης,[8] ἥν γε Θησεὺς πρῶτον ἁρπάσας, ἐν Ἀφίδναις εἶχε, κατὰ τὸν Ἡρακλέα γενόμενος.[9] Ὁ δὲ Ἡρακλῆς πρότερον εἷλε Τροίαν κατὰ τοὺς πατέρας ἡμῶν, τοὺς τότε μάλιστα. Διηγεῖτο

6 Ἐν Βάκτροις] Bactra urbs Bactrianæ in Asiâ, pingue solum et camelis aptum, si verum sit id quod tradit Plinius, ibi tantæ magnitudinis tritici grana fieri, ut singula spicas nostras æquent. lib. 18. c. 7. Leeds.

7 Κύκνου θυγατέρα] Jovis scilicet sub formâ Cygni. Leeds.

8 Ἥν γε Θησεὺς, &c.] A Theseo rapta fuit, nondum decimum ætatis annum egressa; sed haud multò post Castori et Polluci eam repentibus citra injuriam restituta. Vid. Diod. Sic. lib. 4.

9 Ὁ δὲ Ἡρακλῆς, &c.] De captâ ab Hercule Trojâ vid. Hom. Il. ε. v. 640.

Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος,
Ἓξ οἴης σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν,
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.

γὰρ

γάρ μοι ὁ Πάνθους ταῦτα, κομιδῇ μειράκιον ὤν, ἑωρακέναι λέγων τὸν Ἡρακλέα. ΜΙΚ. Τί δὲ, ὁ Ἀχιλλεὺς τοιοῦτος ἦν, ἄριστος τὰ πάντα; ἢ μῦθος ἄλλος καὶ ταῦτα; ΑΛΕΚ. Ἐκείνῳ μὲν οὐδὲ συνηνέχθην, ὦ Μίκυλλε, οὐδὲ ἂν ἔχοιμί σοι οὕτως ἀκριβῶς τὰ παρὰ τοῖς Ἀχαιοῖς λέγειν· πόθεν γὰρ πολέμιος ὤν; τὸν μέντοι ἑταῖρον αὐτοῦ τὸν Πάτροκλον [o] οὐ χαλεπῶς ἀπέκτεινα, διελάσας τῷ δόρατι. ΜΙΚ. [1] Εἶτά σε ὁ Μενέλαος μακρῷ εὐχερέστερον· ἀλλὰ ταῦτα μὲν ἱκανῶς· τὰ Πυθαγόρου δὲ ἤδη λέγε.

18. ΑΛΕΚ. Τὸ μὲν ὅλον, ὦ Μίκυλλε, σοφιστὴς ἄνθρωπος ἦν· χρὴ γὰρ, οἶμαι, τἀληθῆ λέγειν, ἄλλως δὲ οὐκ ἀπαίδευτος, οὐδ᾽ ἀμελέτητος τῶν καλλίστων μαθημάτων· ἀπεδήμησα δὲ εἰς Αἴγυπτον, ὡς συγγενοίμην τοῖς προφήταις ἐπὶ σοφίᾳ, καὶ ἐς τὰ ἄδυτα κατελθὼν, ἐξέμαθον τὰς βίβλους τὰς [2] Ὥρου καὶ Ἴσιδος. Καὶ αὖθις

o Οὐ χαλεπῶς ἀπέκτεινα, &c.] Non peremisti, ô bone, vulnerâsti tantùm, (nec mirum cùm aggressus à tergo) Hector peremit. Vid. Hom. Il. π'. v. 806. Leeds.

1 Εἶτά σε ὁ Μενέλαος, &c.] Vid. Il. ό. v. 50.

2 Ὥρου καὶ Ἴσιδος] Orum aiunt Regem Ægypti fuisse, nescio quot annos ante urbem Romanam conditam. Isis autem est Dea ab Ægyptiis culta, eadem ac Io. Gilbertus Cognatus in suis in hunc locum annotationibus ait, Ori extare duos libros, eos, opinor, vult, qui annexi Pieri Valeriani Hieroglyphicis, scripti primi fuerunt ab Oro isto, ut ibi vocatur Apolline, in linguâ Ægyptiacâ, in Græcam autem à nescio quo Philippo verti. Isidis autem librorum meminit Plato in 2. Dial. de Legum.

θεὶς εἰς Ἰταλίαν ἐκπλεύσας, ὅτω διέθηκα τὰς [3] κατ' ἐκεῖνα Ἕλληνας, ὥστε Θεὸν ἦγόν με. ΜΙΚ. Ἤκυσα ταῦτα, καὶ ὡς δόξειας ἀναβεβιωκέναι ἀποθανὼν, καὶ ὡς χρυσῦν τὸν μηρὸν ἐπιδείξαιό ποτε αὐτοῖς. Ἐκεῖνο δέ μοι εἰπὲ, τί σοι ἐπῆλθε νόμον ποιήσασθαι μήτε κρεῶν, μήτε κυάμων ἐσθίειν; ΑΛΕΚ. Μὴ ἀνάκρινε τὰ τοιαῦτα, ὦ Μίκυλλε. ΜΙΚ. Διὰ τί, ὦ Ἀλεκτρυών; ΑΛΕΚ. Ὅτι αἰσχύνομαι λέγειν πρὸς σὲ τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν. ΜΙΚ. Καὶ μὴν ὐδὲν ὀκνεῖν ἐχρῆν λέγειν πρὸς ἄνδρα σύνοικον, καὶ φίλον· δεσπότην γὰρ ὐκ ἂν εἴποιμι ἔτι. ΑΛΕΚ. Οὐδὲν ὑγιὲς, ὐδὲ σοφὸν ἦν· ἀλλ' ἑώρων, ὅτι εἰ μὲν τὰ συνήθη, καὶ ταὐτὰ τοῖς πολλοῖς νομίζοιμι, ἥκιστα ἐπισπάσομαι τὰς ἀνθρώπυς ἐς τὸ θαῦμα· ὅσῳ δὲ ἂν ξενίζοιμι, τοσύτῳ καινότερος ᾤμην αὐτοῖς ἔσεσθαι. Διὰ τῦτο καινοποιεῖν εἱλόμην, ἀπόῤῥητον ποιησάμενος τὴν αἰτίαν, ὡς εἰκάζοντες ἄλλοι ἄλλως, ἅπαντες ἐκπλήττωνται, καθάπερ ἐν τοῖς ἀσαφέσι τῶν χρησμῶν. ΜΙΚ. Ὁρᾷς; καταγελᾷς με καὶ σὺ ἐν τῷ μέρει τοσῦτον, ὅσον [4] Κροτωνιατῶν, καὶ Μεταποντίων, καὶ Ταραντίνων, καὶ τῶν ἄλλων ἀφώνων σοι ἑπομένων, καὶ προσκυνύντων τὰ ἴχνη, ἃ σὺ πατῶν ἀπολιμπάνοις.

Legum-latione, vocatque τῆς Ἴσιδος ποιήματα, τὰ τὸν πολὺν τῦτον σεσωσμένα χρόνον κτλ. Leeds.

3 Κατ' ἐκεῖνα] Subaud. χωρία.

4 Κροτωνιατῶν, &c.] Crotoniatæ erant incolæ Crotonis, urbis Italiæ, non procul à Tarento; Metapontici incolæ Metaponti, oppidi in sinu Tarentino; Tarentini, incolæ Italiæ. Leeds.

19. Ἀπο-

19. Ἀποδυσάμενος δὲ τὸν Πυθαγόραν, τίνα μετημφιάσω μετ᾽ αὐτόν; ΑΛΕΚ. Ἀσπασίαν τὴν ἐκ Μιλήτου ἑταίραν. ΜΙΚ. Τίς δὴ μετὰ τὴν Ἀσπασίαν ἀνὴρ, ἢ γυνὴ αὖθις ἀνεφάνης; ΑΛΕΚ. ὁ Κυνικὸς Κράτης. ΜΙΚ. Ὦ Διοσκούρω, τῆς ἀνομοιότητος! Ἐξ ἑταίρας φιλόσοφος! ΑΛΕΚ. Εἶτα βασιλεὺς, εἶτα πένης, καὶ μετ᾽ ὀλίγον Σατράπης, εἶτα ἵππος, καὶ κολοιὸς, καὶ βάτραχος, καὶ ἄλλα μυρία· μακρὸν δ᾽ ἂν γένοιτο καταριθμήσασθαι ἕκαστα· τὰ τελευταῖα δὲ, Ἀλεκτρυὼν πολλάκις· ἥσθην γὰρ τῷ βίῳ· καὶ παρὰ πολλοῖς ἄλλοις, δουλεύσας βασιλεῦσι, καὶ πένησι, καὶ πλουσίοις, τὰ τελευταῖα, καὶ σοὶ νῦν σύνειμι, καταγελῶν ὁσημέραι σου ποτνιωμένου, καὶ οἰμώζοντος ἐπὶ τῇ πενίᾳ, καὶ τοὺς πλουσίους θαυμάζοντος, ὑπ᾽ ἀγνοίας τῶν ἐκείνοις προσόντων κακῶν. Εἰ γοῦν ᾔδεις τὰς φροντίδας αὐτῶν, ἃς ἔχουσιν, ἐγέλασας ἂν ἐπὶ σαυτῷ πρῶτον οἰηθέντι ὑπερευδαιμονεῖν ἀεὶ τὸν πλούσιον. ΜΙΚ. Οὐκοῦν, ὦ Πυθαγόρα, ἢ ὅ, τι μάλιστα χαίρεις καλούμενος, ὡς μὴ ἐπιταράττοιμί τὸν λόγον, ἄλλοτε ἄλλον καλῶν. ΑΛΕΚ. Διοίσει μὲν οὐδὲν, ἤν τε Εὔφορβον, ἤν τε Πυθαγόραν, ἤν τε Ἀσπασίαν καλῇς, ἢ Κράτητα, πάντα γὰρ ἐγὼ ταῦτά εἰμι· πλὴν τὸ νῦν ὁρώμενον τοῦτο, Ἀλεκτρυόνα ὀνομάζων ἄμεινον ἂν ποιοῖς, ὡς μὴ ἀτιμάζοις εὐτελὲς εἶναι δοκοῦν τὸ ὄρνεον, καὶ ταῦτα τοσαύτας ἐν αὐτῷ ψυχὰς ἔχον.

20. ΜΙΚ.

20. ΜΙΚ. Οὐκοῦν, ὦ Ἀλεκτρυὼν, ἐπειδὴ ἁπάντων σχεδὸν ἤδη τῶν βίων ἐπειράθης, καὶ πάντα οἶσθα, λέγοις ἂν ἤδη σαφῶς, ἰδίᾳ μὲν τὰ τῶν πλουσίων, ὅπως βιοῦσιν, ἰδίᾳ δὲ τὰ πτωχικὰ, ὡς μάθω εἰ ἀληθῆ ταῦτα φὴς, εὐδαιμονέστερον ἀποφαίνων με τῶν πλουσίων. ΑΛΕΚ. Ἰδοὺ δὴ οὕτως ἐπίσκεψαι, ὦ Μίκυλλε· σοὶ μὲν οὔτε πολέμου πολὺς λόγος, ἢν λέγηται, ὡς οἱ πολέμιοι ἐπελαύνουσιν· οὐδὲ φροντίζεις, μὴ τὸν ἀγρὸν τέμωσιν [5] ἐμβαλόντες, ἢ τὸν παράδεισον ξυμπατήσωσιν, ἢ τὰς ἀμπέλους δῃώσωσιν, ἀλλὰ τῆς σάλπιγγος ἀκούων μόνον, εἴπερ ἄρα, περιβλέπεις τὸ κατὰ σεαυτὸν, οἷ τραπόμενον χρὴ σωθῆναι, καὶ τὸν κίνδυνον διαφυγεῖν· οἱ δ᾽ εὐλαβοῦνται μὲν καὶ ἀμφ᾽ αὐτοῖς, ἀνιῶνται δὲ, ὁρῶντες ἀπὸ τῶν τειχῶν ἀγόμενα καὶ φερόμενα ὅσα εἶχον ἐν τοῖς ἀγροῖς· [6] καὶ ἤν τι εἰσφέρειν δέῃ, μόνοι καλοῦνται· ἤν τε ἐπεξιέναι, προκινδυνεύουσι στρατηγοῦντες, ἢ ἱππαρχοῦντες· σὺ δὲ οἰσυΐνην ἀσπίδα ἔχων, εὐσταλὴς, καὶ κοῦφος εἰς σωτηρίαν, ἕτοιμος ἑστιᾶσθαι [7] τὰ ἐπινίκια, ἐπειδὰν θύῃ ὁ στρατηγὸς νενικηκώς.

21. Ἐν εἰρήνῃ τε αὖ σὺ μὲν τοῦ δήμου ὢν, ἀναβὰς εἰς ἐκκλησίαν, τυραννεῖς τῶν πλουσίων· οἱ δὲ φρίττουσι,

5 Ἐμβαλόντες] Subauditur ἑαυτοὺς vel πόδας ἑαυτῶν.

6 Καὶ ἤν τι] Subauditur τέλος.

7 Τὰ ἐπινίκια] Mos erat finitis triumphis victimas offerre, et postea epulari. Subauditur θύματα.

καὶ ὑποπλήσσυσι, καὶ διανομαῖς ἱλάσκονταί σε· λύτρα μὲν γὰρ ὡς ἔχοις, καὶ ἀγῶνας, καὶ θεάματα, καὶ τἄλλα διαρκῆ, ἅπαντα ἐκεῖνοι πονῦσι. Σὺ δὲ ἐξεταστὴν καὶ δοκιμαστὴς πικρὸς, ὥσπερ δεσπότης, ὐδὲ λόγυ μεταδιδὺς ἐνίοτε, κἄν σοι δοκῇ, καταχαλάζησας αὐτῶν ἀφθόνυς τὺς λίθυς, ἢ τὰς ὐσίας αὐτῶν ἐδήμευσας· ὔτε δὲ συκοφάντην δέδιας αὐτὸς, ὔτε λῃστὴν, μὴ ὑφέληται τὸ χρυσίον, ὑπερβὰς τὸ θριγκίον, ἢ διορύξας τὸν τοῖχον· ὔτε πράγματα ἔχεις λογιζόμενος, ἢ ἀπαιτῶν, ἢ τοῖς καταράτοις οἰκονόμοις διαπυκτεύων, καὶ πρὸς τοσαύτας φροντίδας μεριζόμενος· ἀλλὰ κρηπῖδα συντελέσας, ἑπτὰ ὀβολὺς τὸν μισθὸν ἔχων, ἐπαναστὰς περὶ δείλην ὀψίαν, λυσάμενος, ἢν δοκῇ, σαπέρδην τινὰ, ἢ μαινίδας, ἢ κρομμύων κεφαλίδας ὀλίγας πριάμενος, εὐφραίνεις σαυτὸν, ᾄδων τὰ πολλὰ, καὶ τῇ βελτίστῃ πενίᾳ προσφιλοσοφῶν.

22. Ὥστε διὰ ταῦτα ὑγιαίνεις τε, καὶ ἔρρωσαι τὸ σῶμα, καὶ διακαρτερεῖς πρὸς τὸ κρύος· οἱ πόνοι γάρ σε παραθήγοντες ὐκ εὐκαταφρόνητον ἀνταγωνιστὴν ἀποφαίνυσι πρὸς τὰ δοκῦντα τοῖς ἄλλοις ἄμαχα εἶναι· ὥστε ὐδὲν σοι τῶν χαλεπῶν τύτων νοσημάτων ἐπιβυλεύει. Ἀλλ' ἤν ποτε κῦφος πυρετὸς ἐπιλάβηται, πρὸς ὀλίγον ὑπηρετήσας αὐτῷ ἀνεπήδησας εὐθὺς, ἀποσεισάμενος τῇ ἀσιτίᾳ· ὁ δὲ φεύγει αὐτίκα φοβηθείς σε, ψυχρῦ τε ὁρῶν ἐμφορύμενον, καὶ μακρὰν οἰμώζειν λέγοντα

ταῖς

ταῖς ἰατρικαῖς περιόδοις. οἱ δὲ ὑπ' ἀκρασίας ἄθλιοι τί τῶν κακῶν οὐκ ἔχουσι, ποδάγρας, καὶ φθόας, καὶ περιπνευμονίας, καὶ ὑδέρους; ταῦτα γὰρ τῶν πολυτελῶν ἐκείνων δείπνων ἀπόγονα. Τοιγαροῦν οἱ μὲν αὐτῶν, ὥσπερ ὁ Ἴκαρος, ἐπιπολὺ ἄραντες αὐτοὺς, καὶ πλησιάσαντες τῷ ἡλίῳ, οὐκ εἰδότες ὅτι κηρῷ ἥρμοστο αὐτοῖς ἡ πτέρωσις, μέγαν ἐνίοτε τὸν πάταγον ἐποίησαν, ἐπὶ κεφαλὴν ἐς πέλαγος ἐμπεσόντες· ὅσοι δὲ κατὰ τὸν Δαίδαλον μὴ πάνυ μετέωρα μηδὲ ὑψηλὰ ἐφρόνησαν, ἀλλὰ πρόσγεια, ὡς νοτίζεσθαι ἐνίοτε τῇ ἅλμῃ τὸν κηρὸν, ὡς τὸ πολὺ οὗτοι ἀσφαλῶς διέπτησαν. ΜΙΚ. Ἐπιεικεῖς τινὰς καὶ συνετοὺς λέγεις. ΑΛΕΚ. Τῶν μέντοι γε ἄλλων, ὦ Μίκυλλε, τὰς ναυαγίας πάνυ αἰσχρὰς ἴδοις ἂν, ὅταν ὁ Κροῖσος [8] περιτετιλμένος τὰ πτερὰ γέλωτα παρέχῃ Πέρσαις, ἀναβαίνων ἐπὶ τὴν πυρὰν, [9] ἢ Διονύσιος καταλυθεὶς τῆς τυραννίδος ἐν Κορίνθῳ γράμματα διδάσκῃ μετὰ τηλικαύτην ἀρχὴν παιδία συλλαβίζειν ἀναγκάζων.

23. ΜΙΚ. Εἰπέ μοι, ὦ Ἀλεκτρυὼν, σὺ δὲ ὁπότε βασιλεὺς ἦσθα, (φὴς γὰρ καὶ βασιλεῦσαι) ποίου τινὸς ἐπειράθης ἐκείνου τοῦ βίου; ἢ που πανευδαίμων ἦσθα, τὸ κεφάλαιον ὅ, τι περ ἐστὶ τῶν ἀγαθῶν ἁπάντων ἔχων.

[8] Περιτετιλμένος τὰ πτερὰ] Ἀντὶ τοῦ καταλυθεὶς ἀπὸ τῆς βασιλείας. Νικήσας δὲ αὐτὸν ὁ Κῦρος ἠθέλησεν αὐτὸν καῦσαι· καὶ μετὰ ταῦτα ἐλεήσας ἔσωσε.——Schol. Vid. Herod. Clio.

[9] Ἢ Διονύσιος, &c.] Vid. Just. lib. 21. c. 5.

ΑΛΕΚ. Μὴ δὲ ἀναμνήσῃς με, ὦ Μίκυλλε, ὅυτω τρισάθλιος ἦν τότε· τοῖς μὲν ἔξω πᾶσιν, ὅπερ ἔφησθα, πανευδαίμων εἶναι δοκῶν, ἔνδον δὲ, μυρίαις ἀνίαις συνών. ΜΙΚ. Τίσι ταύταις; παράδοξα γὰρ καὶ ὁ πάνυ πιςὰ φῂς. ΑΛΕΚ. Ἦρχον μὲν ὀυκ ὀλίγης χώρας, ὦ Μίκυλλε, παμφόρȣ τινὸς, καὶ πλήθει ἀνθρώπων, καὶ κάλλει τῶν πόλεων ἐν ταῖς μάλιςα θαυμάζεσθαι ἀξίας, ποταμοῖς τε ναυσιπόροις καταῤῥεομένης, καὶ θαλάττῃ ἐυόρμῳ χρωμένης. Καὶ ςρατιὰ ἦν πολλὴ, καὶ ἵππος συγκεκροτημένη, καὶ δορυφορικὸν ὀυκ ὀλίγον, καὶ τριήρεις, καὶ χρημάτων πλῆθος ἀνάριθμον, καὶ χρυσὸς ὁ κοῖλος πάμπολυς, καὶ ἡ ἄλλη τῆς ἀρχῆς τραγῳδία πᾶσα, ἐς ὑπερβολὴν ἐξωγκωμένη· ὥςε ὁπότε προΐοιμι, οἱ μὲν πολλοὶ προσεκύνȣν, καὶ Θεόν τινα ὁρᾷν ᾤοντο· καὶ ἄλλοι ἐπ᾽ ἄλλοις συνέθεον ὀψόμενοί με· οἱ δὲ, καὶ ἐπὶ τὰ τέγη ἀνιόντες, ἐν μεγάλῳ ἐτίθεντο ἀκριβῶς ἑωρακέναι τὸ ζεῦγος, τὴν ἐφεςρίδα, τὸ διάδημα, τȣ̀ς προπομπεύοντας, τȣ̀ς ἑπομένȣς· ἐγὼ δὲ εἰδὼς ὁπόσα με ἠνίᾳ καὶ ἔςρεφεν, ἐκείνοις μὲν τȣ́τοις τῆς ἀγνοίας συνεγίγνωσκον, ἐμαυτὸν δὲ ἠλέȣν, ὅμοιον ὄντα τοῖς μεγάλοις ἐκείνοις ° Κολοσσοῖς, οἵȣς ἢ Φειδίας, ἢ Μύρων, ἢ Πραξιτέλης ἐποίησεν· ἐκείνων γὰρ ἕκαςος, τὰ ἐκτὸς, ὁ μὲν Ποσειδῶν, ἢ Ζεύς ἐςι

o Κολοσσοῖς] Colossi sunt Statuæ vel imagines hominum supra modum magnæ, et quæ uno oculorum aspectu videri nequeant, ἀπὸ τȣ̃ κολȣ́ειν τὼ ὄσσα, i. e. à detruncando oculos. Phidias autem, &c. Statuarii erant peritissimi. Leeds.

πάγκαλος,

πάγκαλος, ἐκ χρυσοῦ καὶ ἐλέφαντος ξυνειργασμένος, κεραυνὸν, ἢ ἀστραπὴν, ἢ τρίαιναν ἔχων τῇ δεξιᾷ· ἢν δὲ ὑποκύψας ἴδῃς τὰ ἔνδοθεν, ὄψει μοχλοὺς τίνας, καὶ γόμφους, καὶ ἥλους διαμπὰξ πεπερονημένους, καὶ κορμοὺς, καὶ πηλὸν, καὶ σφῆνας, καὶ πίτταν, καὶ τοιαύτην τινὰ πολλὴν ἀμορφίαν ὑποικουροῦσαν· ἐῶ λέγειν μυῶν πλῆθος, ἢ μυγαλῶν ἐμπολιτευομένον αὐτοῖς ἐνίοτε· τοιοῦτον τι καὶ βασιλεία ἐστίν.

24. ΜΙΚ. Οὐδέπω ἔφησθα τὸν πηλὸν, καὶ τοὺς γόμφους καὶ μοχλοὺς, οἵ τινες εἶεν τῆς ἀρχῆς· οὐδὲ τὴν ἀμορφίαν ἐκείνην τὴν πολλὴν, ἥτις ἐστίν· ὡς τόγε ἐξελαύνειν ἀποβλεπόμενον, καὶ τοσούτων ἄρχοντα, καὶ προσκυνούμενον δαιμονίως, ἔοικεν οὕτως Κολοσσιαίῳ παραδείγματι· θεσπέσιον γάρ τι καὶ τοῦτο· Σὺ δὲ καὶ τὰ ἔνδον ἤδη τοῦ Κολοσσοῦ λέγε. ΑΛΕΚ. Τί πρῶτον εἴπω σοι, ὦ Μίκυλλε, τοὺς φόβους, καὶ τὰ δήγματα, καὶ ὑποψίας, καὶ μῖσος τὸ παρὰ τῶν συνόντων, καὶ ἐπιβουλὰς, καὶ διὰ ταῦτα, ὕπνον τε ὀλίγον, ἐπιπόλαιον κἀκεῖνον, καὶ ταραχῆς μεστὰ ὀνείρατα, καὶ ἐννοίας πολυπλόκους, καὶ ἐλπίδας ἀεὶ πονηρὰς, ἢ τὴν ἀσχολίαν, καὶ χρηματισμοὺς, καὶ δίκας, καὶ ἐκστρατείας, καὶ προστάγματα, καὶ συνθήματα, καὶ λογισμούς; ὑφ᾿ ὧν οὐδὲ ὄναρ ἀπολαῦσαί τινος ἡδέος ἐγγίγνεται, ἀλλὰ ἀνάγκη ὑπὲρ ἁπάντων μόνον διασκοπεῖν, καὶ μυρία ἔχειν πράγματα.

[1] Οὐδὲ γὰρ Ἀτρείδην Ἀγαμέμνονα———
Ὕπνος ἔχε γλυκερὸς, πολλὰ φρεσὶν ὁρμαίνοντα·

καὶ ταῦτα, ῥεγκόντων Ἀχαιῶν ἁπάντων. Λυπεῖ δὲ [2] τὸν μὲν Λυδὸν υἱὸς κωφὸς ὤν. [3] Τὸν Πέρσην δὲ Κλέαρχος Κύρῳ ξενολογῶν· [4] ἄλλον δὲ Δίων, πρὸς οὖς τισι τῶν Συρακουσίων κοινολογούμενος. [5] καὶ ἄλλον Παρμενίων ἐπαινούμενος, καὶ [6] Περδίκκαν Πτολεμαῖος, καὶ Πτολεμαῖον Σέλευκος· ἀλλὰ κἀκεῖνα λυπεῖ, ἀποστήσεσθαί τινες λεγόμενοι, καὶ δύ' ἢ τέτταρες τῶν δορυφόρων πρὸς ἀλλήλους διαψιθυρίζοντες· τὸ δὲ μέγιστον, ὑφορᾶσθαι δεῖ τοὺς φιλτάτους μάλιστα, κἀξ ἐκείνων ἀεί τι

1 Οὐδὲ γὰρ Ἀτρείδην, &c.] Vid. Il. κ'. v. 3. et 4.

2 Τὸν μὲν Λυδὸν, &c.] Crœsum, qui filium habebat mutum, de patris autem salute adeò sollicitum, ut quando Persam quendam in eum, quasi esset occisurus, ruentem videret, rupto linguæ ligamine, exclamavit, ἄνθρωπε μὴ κτεῖνε Κροῖσον. Vid. Herod. Clio. et Solin. c. 7. Leeds.

3 Τὸν Πέρσην δὲ, &c.] Intelligit Arsacen sive Artaxerxen, Persarum Regem, quando contra Cyrum fratrem bellum gerebat, ad cujus partes descivit Clearchus Græcorum Dux. Vid. Photium in exceptis ex Ctesiæ Persicis. Leeds.

4 Ἄλλον δὲ Δίων, &c.] Dionysium scilicet Tyrannum, contra quem excitavit Dion Syracusanos. Vid. Diod. Sic. lib. 16. Leeds.

5 Καὶ ἄλλον Παρμενίων] Alexandrum, qui Parmenionem à militibus dilectum trucidari jussit. Vid. Curt. lib. 7. cap. 2. et Diod. Sic. lib. 17. Leeds.

6 Περδίκκαν] Illum, quem Alexander moriens tradito annulo sibi designavit successorem; sed obstitit Ptolemæus Ceraunius. Vid. Just. lib. 27. c. 2. Leeds.

δεινὸν

δεινὸν ἥξειν ἐλπίζειν· Ὁ μὲν γοῦν ὑπὸ τοῦ παιδὸς ἀπέθανεν ἐκ φαρμάκων, τὸν δὴ ἄλλον ἴσως ὁμοιότροπος θάνατος κατέλαβεν.

25. ΜΙΚ. Ἄπαγε, δεινὰ ταῦτα φὴς, ὦ Ἀλεκτρυών. Ἐμοὶ γοῦν πολὺ ἀσφαλέστερον σκυτοτομεῖν ἐπικεκυφότα, ἢ πίνειν ἀπὸ χρυσῆς φιάλης κωνείῳ καὶ ἀκονίτῳ συναναπραθεῖσαν φιλοτησίαν· ὁ δὲ κίνδυνος ἐμοὶ μὲν, εἰ παρολισθοῖ τὸ σμιλίον, καὶ ἁμάρτοι τῆς τομῆς τῆς ἐπ' εὐθὺ, ὀλίγον τι αἱμάξαι τοῦ δακτύλου ἐντεμόντα· οἱ δὲ, ὡς φὴς, θανάσιμα εὐωχοῦνται, καὶ ταῦτα, μυρίοις κακοῖς συνόντες· εἶτ' ἐπειδὰν πέσωσιν, ὅμοιοι μάλιστα φαίνονται τοῖς τραγικοῖς ὑποκριταῖς, ὧν πολλοὺς ἰδεῖν ἐστι, τέως μὲν [7] Κέκροπας δῆθεν ὄντας, ἢ Σισύφους, ἢ Τηλέφους, διαδήματ' ἔχοντας καὶ ξίφη ἐλεφαντόκωπα, καὶ ἐπίσειστον κόμην, καὶ χλαμύδα χρυσόπαστον· ἢν δὲ, οἷα πολλὰ γίγνεται, προσκρούσας τις αὐτῶν ἐν μέσῃ τῇ σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει τοῖς θεαταῖς, τοῦ προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ἡμαγμένης δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ, καὶ τῶν σκελῶν ἐπιπολὺ γυμνουμένων, ὡς τῆς τε ἐσθῆτος τὰ ἔνδοθεν φαίνεσθαι ῥάκια, δύστηνα ὄντα, καὶ τῶν ἐμβάδων τὴν ὑπόδεσιν ἀμορφοτάτην, καὶ οὐχὶ κατὰ λόγον τοῦ ποδός. Ὁρᾷς ὅπως με καὶ εἰκάζειν ἐδίδαξας ἤδη, ὦ βέλτιστε Ἀλεκτρυών;

7 Κέκροπας δῆθεν, &c.] Omnes Reges; Cecrops Athenis, Sisyphus Corinthi, Telephus Mysiæ, Leeds.

λεκτρυών; ἀλλὰ τυραννὶς μὲν τοιοῦτόν τι ὤφθη οὖσα· ἵππος δέ, ἢ κύων, ἢ ἰχθὺς, ἢ βάτραχος ὁπότε γένοιο, πῶς ἔφερες ἐκείνην τὴν διατριβήν;

26. ΑΛΕΚ. Μακρὸν τοῦτο ἀνακινεῖς τὸν λόγον, καὶ οὐ τοῦ παρόντος καιροῦ· πλὴν τόγε κεφάλαιον, [a] οὐδεὶς ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων ἔδοξέ μοι τοῦ ἀνθρωπείου, μόναις ταῖς φυσικαῖς ἐπιθυμίαις καὶ χρείαις ξυμμεμετρημένος· τελώνην δὲ ἵππον, ἢ συκοφάντην βάτραχον, ἢ σοφιστὴν κολοιὸν, ἢ ὀψοποιὸν κώνωπα, καὶ τἆλλα, ὅσα ὑμεῖς ἐπιτηδεύετε, οὐκ ἂν ἴδοις ἐν ἐκείνοις.

27. ΜΙΚ. Ἀληθῆ ταῦτα ἴσως, ὦ Ἀλεκτρυών· ἐγὼ δὲ ὅγε πέπονθα, οὐκ αἰσχύνομαι πρὸς σὲ λέγειν. Οὐδέπω δύναμαι ἀπομαθεῖν τὴν ἐπιθυμίαν, ἣν ἐκ παίδων εἶχον πλούσιος γενέσθαι· ἀλλά μοι καὶ τοὐνύπνιον ἔτι πρὸ τῶν ὀφθαλμῶν ἕστηκεν, ἐπιδεικνύμενον τὸ χρυσίον· καὶ μάλιστα ἐπὶ τῷ καταράτῳ Σίμωνι ἀποπνίγομαι, τρυφῶντι ἐν ἀγαθοῖς τοσούτοις. ΑΛΕΚ. Ἐγὼ σὲ ἰάσομαι, ὦ Μίκυλλε· καὶ ἐπείπερ ἔτι νύξ ἐστιν, ἐξαναστὰς ἕπου μοι, ἀπάξω γάρ σε πρός αὐτὸν ἐκεῖνον τὸν Σίμωνα, καὶ εἰς τὰς τῶν ἄλλων πλουσίων οἰκίας

[a] Οὐδεὶς ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων] Pro οὐδεὶς ἦν τῶν βίων ὅστις οὐκ ἀπραγμονέστερος.

ὡς

ὡς ἴδοις οἷα τὰ παρ' αὐτοῖς ἐστι. ΜΙΚ. Πῶς τοῦτο, κεκλεισμένων τῶν θυρῶν; εἰ μὴ καὶ τοιχωρυχεῖν με συναναγκάσεις. ΑΛΕΚ. Οὐδαμῶς, ἀλλ' ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, ἐξαίρετον ἔδωκέ μοι τοῦτο, [9] ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον, ὃ δι' ἁπαλότητα ἐπικαμπές ἐστι. ΜΙΚ. Δύο δ' ἐστί σοι τοιαῦτα. ΑΛΕΚ. Τὸ δεξιὸν τοίνυν, ὅτῳ ἂν ἐγὼ ἀποσπάσας παράσχω ἔχειν, ἐς ὅσον ἂν βούλωμαι, ἀνοίγειν τε ὁ τοιοῦτος πᾶσαν θύραν δύναται, καὶ ὁρᾶν τὰ πάντα, οὐχ ὁρώμενος αὐτός. ΜΙΚ. Ἐλελήθεις με, ὦ Ἀλεκτρυών, καὶ σὺ γόης ὤν· ἐμοὶ δ' οὖν ἢν τοῦτο ἅπαξ παράσχῃς, ὄψει τὰ Σίμωνος πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα· μετοίσω γὰρ αὐτὰ παρελθών· [0] ὁ δὲ αὖθις περιτρώξεται ἀποπινῶν τὰ καττύματα. ΑΛΕΚ. Οὐ θέμις γενέσθαι τοῦτο· παρήγγειλε γὰρ ὁ Ἑρμῆς, ἤν τοιοῦτόν τι ἐργάσηται ὁ ἔχων τὸ πτερόν, ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν. ΜΙΚ. Ἀπίθανον λέγεις, κλέπτην τὸν Ἑρμῆν αὐτὸν ὄντα, τοῖς ἄλλοις φθονεῖν τοῦ

9 Ἤν τις] Subaud. ἔχῃ.

0 Ὁ δὲ αὖθις περιτρώξεται ἀποπινῶν τὰ καττύματα] Vulg. ἀποπίνων. Et interpretes vertunt; *At ille rursum coria calceis assuenda obrodet ebibetque.* Quid autem *ebibet?* Dein ubi in Græcis sunt *coria calceis assuenda?* καττύματα sunt soleæ, quæ calceis suppinguntur, et pedibus teruntur. Legas igitur ἀποπινῶν, πινόω est *sordibus inquino, maculo,* ἀποπινόω est *sordibus purgo, emaculo:* et reddas, *at ille rursum soleas obrodens sordibus purget.* Nam sutores etiam ore soleas crepidarum lingendo, et siquid dedecet dentibus abradendo, ut magis niterent, emundâsse videntur. Grævius.

τοιούτου. Ἀπίωμεν δ' ὅμως· [1] ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι. ΑΛΕΚ. Ἀπότιλον, ὦ Μίκυλλε, πρότερον τὸ πτίλον· τί τοῦτο; ἄμφω ἀπέτιλας; ΜΙΚ. Ἀσφαλέστερον οὕτως, ὦ Ἀλεκτρυὼν, καὶ σοὶ ἧττον ἄμορφον τὸ πρᾶγμα ἂν εἴη, ὡς μὴ χωλεύοις διὰ θάτερον τῆς οὐρᾶς μέρος.

28. ΑΛΕΚ. Εἶεν. Ἐπὶ τὸν Σίμωνα πρῶτον ἄπιμεν, ἢ παρ' ἄλλον τινὰ τῶν πλουσίων; ΜΙΚ. Οὔμενουν, ἀλλὰ ἐπὶ τὸν Σίμωνα, ὃς ἀντὶ δισσυλλάβου [2] τετρασύλλαβος ἤδη πλουτήσας εἶναι ἀξιοῖ· καὶ δὴ πάρεσμεν ἐπὶ τὰς θύρας· τί οὖν ποιῶ τὸ μετὰ τοῦτο; ΑΛΕΚ. Ἐπίθες τὸ πτερὸν ἐπὶ τὸ κλεῖθρον. ΜΙΚ. Ἰδοὺ δὴ, ὦ Ἡράκλεις, ἀναπεπέταται ὥσπερ κλειδὶ ἡ θύρα. ΑΛΕΚ. Ἡγοῦ ἐς τὸ πρόσθεν. Ὁρᾷς αὐτὸν ἀγρυπνοῦντα, καὶ λογιζόμενον; ΜΙΚ. Ὁρῶ, νὴ Δία, πρὸς ἀμαυράν γε καὶ διψῶσαν τὴν θρυαλλίδα· καὶ ὠχρὸς δ' ἐστὶν, οὐκ οἶδ' ὁπόθεν, ὦ Ἀλεκτρυὼν, καὶ κατέσκληκεν ὅλος, ἐκτετηκὼς ὑπὸ φροντίδων δηλαδή· οὐ γὰρ νοσεῖν ἄλλως ἐλέγετο. ΑΛΕΚ. Ἄκουσον ἃ φησιν, εἴσῃ γὰρ ὅθεν οὕτως ἔχει. ΣΙ. Οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐκεῖνα πάνυ ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ κατορώρυκται, καὶ οὐδεὶς ὅλως εἶδε· τὰ δὲ ἑκκαί-

1 Ἀφέξομαι γὰρ τοῦ χρυσίου] Non hic subauditur τὶ, quod vult Leeds, sed ἐμαυτὸν τὰς χεῖρας ἀπὸ, quod ex præcedentibus facile est colligere.

2 Τετρασύλλαβος] Σιμωνίδης.

δεκα

δεκα εἶδεν, οἶμαι, Σωσύλος ὁ ἱπποκόμος ὑπὸ τῇ φάτνῃ καλακρύπλονλά με· ὅλως γὲν περὶ τὸν ἱππῶνά ἐςιν ὁ πάνυ ἐπιμελής, ἄλλως τ' ὁδὲ φιλόπονος ὤν. Εἰκὸς δὲ διηρπᾶσθαι πολλῷ πλείω τέτων· ἢ πόθεν γὰρ ὁ Τίβιος τάριχον αὐτῷ ἕτω μέγαν ὠψώνηκεν ἐχθές; ἐλέγελο δὲ τῇ γυναικὶ ἐλλόβιον ἐωνῆσθαι πένλε δραχμῶν· ὅλως τἀμὰ ἕτοι σπαθῶσι [3] τῦ κακοδαίμονος· ἀλλ' ὁδὲ τὰ ἐκπώμαλα ἐν ἀσφαλεῖ μοι ἀπόκειται, τοσαῦτα ὄντα. Δέδια γὲν μή τις ὑπορύξας τὸν τοῖχον, ὑφέληλαι ταῦτα· πολλοὶ φθονἑσι, καὶ ἐπιβελεύεσί μοι, καὶ μάλιςα ὁ γείτων Μίκυλλος. ΜΙΚ. Νὴ Δία· σοὶ γὰρ ὅμοιος ἐγὼ καὶ τὰ τρύβλια ὑπὸ μάλης ἄπειμι ἔχων. ΑΛΕΚ. Σιώπησον, ὦ Μίκυλλε, μὴ καλαφωράσῃ παρόνλας ἡμᾶς. ΣΙ. Ἄριςον γὲν ἄγρυπνον αὐτὸν φυλάτλειν· ἅπασαν περίειμι διαναστὰς ἐν κύκλῳ τὴν οἰκίαν· τίς ἕτος; ὁρῶ σέ τε, ὦ τοιγώρυχε, μὰ Δία· ἐπεὶ κίων γε ὢν τυγχάνεις, εὖ ἔχει. Ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή τί με πρώην διέλαθεν. Ἰδὲ πάλιν ἐψόφηκέ τις ἐπ' ἐμέ· δηλαδὴ πολιορκἕμαι, καὶ ἐπιβελεύομαι πρὸς ἁπάνλων· πῦ μοι τὸ ξιφίδιον; ἂν λάβω τινά; θάπλωμεν αὖθις τὸ χρυσίον.

3 Τῦ κακοδαίμονος] Refer ad Genit. ἐμῦ inclusum in τἀμά. Similis apud Latinos locutio,

——— *nostras vidisti flentis ocellos.* Leeds.

29. ΑΛΕΚ. Τοιαῦτα μέν σοι, ὦ Μίκυλλε, τὰ Σίμωνος. Ἀπίωμεν δὲ καὶ παρ' ἄλλον τινὰ, ἕως ἔτι ὀλίγον τῆς νυκτὸς λοιπόν ἐστιν. ΜΙΚ. Ὁ κακοδαίμων, οἷον βιοῖ τὸν βίον! Ἐχθροῖς οὕτω πλουτεῖν γένοιτο! κατὰ κόῤῥης γοῦν παλάξας αὐτὸν ἀπελθεῖν βούλομαι. ΣΙ. Τίς ἐπάταξέ με; λῃστεύομαι ὁ δυστυχής. ΜΙΚ. Οἴμωζε, καὶ διαγρύπνει, καὶ ὅμοιος γίγνου τὸ χρῶμα τῷ χρυσῷ, προστετηκὼς αὐτῷ· ἡμεῖς δὲ, εἰ δοκεῖ, Γνίφωνα τὸν δανειστὴν ἴδωμεν· οὐ μακρὰν δὲ καὶ οὗτος οἰκεῖ· ἀνέῳκται αὕτη ἡμῖν ἡ θύρα.

30. ΑΛΕΚ. Ὁρᾷς ἐπαγρυπνοῦντα καὶ τοῦτον ἐπὶ φροντίδων, ἀναλογιζόμενον τοὺς τόκους, καὶ τοὺς δακτύλους κατεσκληκότα, ὃν δεήσει μετ' ὀλίγον πάντα ταῦτα λιπόντα, σίλφην, ἢ ἐμπίδα, ἢ κυνόμυιαν γενέσθαι! ΜΙΚ. Ὁρῶ κακοδαίμονα, καὶ ἀνόητον ἄνθρωπον, οὐδὲ νῦν πολὺ τῆς σίλφης, ἢ ἐμπίδος ἄμεινον βιοῦντα· ὡς δὲ καὶ οὗτος ἐκτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν! Ἐπ' ἄλλον ἀπίωμεν.

31. ΑΛΕΚ. Παρὰ τὸν σὸν Εὐκράτην, εἰ δοκεῖ· καὶ ἰδοὺ γὰρ ἀνέῳκται καὶ αὕτη ἡ θύρα, ὥστε εἰσίωμεν. ΜΙΚ. Ἅπαντα ταῦτα μικρὸν ἔμπροσθεν ἐμὰ ἦν. ΑΛ. Ἔτι γὰρ σὺ ὀνειροπολεῖς τὸν πλοῦτον; Τί οὖν;

ἐθέλοις

ἐθέλοις ἂν καὶ τούτων κληρονομεῖν, ὦ Μίκυλλε, καὶ πάντα ἔχειν τὰ Εὐκράτους; ΜΙ. Μηδαμῶς, ὦ Ἀλεκτρυὼν, λιμῷ πρότερον ἀπολοίμην, ἢ τοιοῦτόν τι πείσωμαι. χαιρέτω τὸ χρυσίον, καὶ τὰ δεῖπνα· δύο ὀβολοὶ ἐμοί γε πλοῦτός ἐστι μᾶλλον, ἢ τοιχωρυχεῖσθαι πρὸς τῶν οἰκετῶν. ΑΛ. Ἀλλὰ νῦν, ἡμέρα γὰρ ἤδη ἀμφὶ τὸ λυκαυγὲς αὐτὸ, ἀπίωμεν οἴκαδε παρ' ἡμᾶς· τὰ λοιπὰ δὲ, εἰσαῦθις ὄψει, ὦ Μίκυλλε.

✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱✱

DIALOG. XXI.

ΘΕΩΝ ΕΚΚΛΗΣΙΑ.

ΖΕΥΣ.

ΜΗΚΕΤΙ τονθορίζετε, ὦ Θεοὶ, μηδὲ κατὰ γωνίας συστρεφόμενοι, πρὸς οὓς ἀλλήλοις κοινολογεῖσθε, ἀγανακτοῦντες, εἰ πολλοὶ ἀνάξιοι μετέχουσιν ἡμῖν τοῦ συμποσίου· ἀλλ' ἐπείπερ ἀποδέδοται περὶ τούτων ἐκκλησία, λεγέτω ἕκαστος ἐς τὸ φανερὸν τὰ δοκοῦντά οἱ, καὶ κατηγορείτω· σὺ δὲ κήρυττε, ὦ Ἑρμῆ, τὸ κήρυγμα τὸ ἐκ τοῦ νόμου. ΕΡΜ. Ἄκουε, σίγα· τίς ἀγορεύειν βούλεται τῶν τελείων Θεῶν, οἷς ἔξεστιν; ἡ δὲ

σκέψις

σκέψις περὶ τῶν μετοίκων καὶ ξένων. ΜΩΜ. Ἐγὼ ὁ Μῶμος, ὦ Ζεῦ, εἴ μοι ἐπιτρέψειας εἰπεῖν. ΖΕΥΣ. Τὸ κήρυγμα ἤδη ἐφίησιν· ὥστε οὐδὲν ἐμοῦ δεήσῃ.

2. ΜΩΜ. Φημὶ τοίνυν δεινὰ ποιεῖν ἐνίους ἡμῶν, οἷς οὐκ ἀπόχρη Θεοὺς ἐξ ἀνθρώπων αὐτοὺς γεγενῆσθαι, ἀλλ' εἰ μὴ καὶ τοὺς ἀκολούθους, καὶ θεράποντας αὐτῶν ἰσοτίμους ἡμῖν ἀποφανοῦσιν, οὐδὲν μέγα, οὐδὲ νεανικὸν οἴονται ἐργάσασθαι· ἀξιῶ δὲ, ὦ Ζεῦ, μετὰ παῤῥησίας μοι δοῦναι εἰπεῖν· οὐδὲ γὰρ ἂν ἄλλως δυναίμην· ἀλλὰ πάντες με ἴσασιν ὡς ἐλεύθερός εἰμι τὴν γλῶτταν, καὶ οὐδὲν ἂν κατασιωπήσαιμι τῶν οὐ καλοὺς γιγνομένων· διελέγχω γὰρ ἅπαντα, καὶ λέγω τὰ δοκοῦντά μοι ἐς τὸ φανερὸν, οὔτε δεδιώς τινα, οὔτε ὑπ' αἰδοῦς ἐπικαλύπτων τὴν γνώμην· ὥστε καὶ ἐπαχθὴς δοκῶ τοῖς πολλοῖς, καὶ συκοφαντικὸς τὴν φύσιν, δημόσιός τις κατήγορος ὑπ' αὐτῶν ἐπονομαζόμενος. Πλὴν ἀλλ' ἐπείπερ ἔξεστι, καὶ κεκήρυκται, καὶ σὺ, ὦ Ζεῦ, δίδως μετ' ἐξουσίας εἰπεῖν, οὐδὲν ὑποστειλάμενος ἐρῶ.

3. Πολλοὶ γὰρ, φημὶ, οὐκ ἀγαπῶντες, ὅτι αὐτοὶ μετέχουσι τῶν αὐτῶν ἡμῖν ξυνεδρίων, καὶ εὐωχοῦνται ἐπίσης, καὶ ταῦτα, θνητοὶ ἐξ ἡμισείας ὄντες, ἔτι καὶ τοὺς ὑπηρέτας, καὶ θιασώτας τοὺς αὐτῶν ἀνήγαγον ἐς τὸν οὐρανὸν, καὶ παρενέγραψαν· καὶ νῦν ἐπίσης διανομάς τε νέμονται, καὶ θυσιῶν μετέχουσιν, οὐδὲ καταβα-

λόντες

λόντες ἡμῖν τὸ μέτοικιον. ΖΕΥΣ. Μηδὲν αἰνιγματωδῶς, ὦ Μῶμε, ἀλλὰ σαφῶς καὶ διαῤῥήδην λέγε, προστιθεὶς καὶ τοὔνομα. Νῦν γὰρ ἐς τὸ μέσον ἀπέῤῥιπται σοι ὁ λόγος, ὡς πολλοὺς εἰκάζειν, καὶ ἐφαρμόζειν ἄλλοτε ἄλλον τοῖς λεγομένοις· χρὴ δὲ παῤῥησιαστὴν ὄντα, μηδὲν ὀκνεῖν λέγειν.

4. ΜΩΜ. Εὖγε, ὦ Ζεῦ, ὅτι καὶ παροτρύνεις με πρὸς τὴν παῤῥησίαν· ποιεῖς γὰρ τοῦτο βασιλικὸν ὡς ἀληθῶς, καὶ μεγαλόφρον· ὥστε ἐρῶ καὶ τοὔνομα· ὁ γάρ τοι γενναιότατος Διόνυσος [4] ἡμιάνθρωπος ὢν, οὐδὲ Ἕλλην μητρόθεν, ἀλλὰ [5] Συροφοίνικός τινος ἐμπόρου τοῦ Κάδμου θυγατριδοῦς, ἐπείπερ ἠξιώθη τῆς ἀθανασίας, οἷος μέν αὐτός ἐστιν οὐ λέγω, οὔτε τὴν [6] μίτραν, οὔτε τὴν μέθην, οὔτε τὸ βάδισμα· πάντες γὰρ, οἶμαι, ὁρᾶτε ὡς θῆλυς, καὶ γυναικεῖος τὴν φύσιν, ἡμιμανὴς, ἀκράτου ἕωθεν ἀποπνέων· ὁ δὲ, καὶ ὅλην φρατρίαν εἰσεποίησεν

4 Ἡμιάνθρωπος] Ex matre scilicet, quæ teste Euripide fuit Semele, Cadmi Filia,

Ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα
Διόνυσος, ὃν τίκτει ποθ' ἡ Κάδμου κόρη
Σεμέλη——Vid. Eurip. Bacch. v. 1.

5 Συροφοίνικός τινος ἐμπόρου] Cadmus erat Phœnicûm Rex. ἔμπορον autem vocat, quòd Phœnices primi mercaturam exercuisse feruntur; de illis enim Dionysius,

Οἳ πρῶτοι νήεσσιν ἐπειρήσαντο θαλάσσης,
Πρῶτοι δ' ἐμπορίης ἁλιδινέος ἐμνήσαντο.

Vid. Διον. Περιήγ. v. 907.

6 Μίτραν] Μίτρα ὁ γυναικεῖος τῆς κεφαλῆς ἀναδεσμός. Schol.

ἡμῖν,

ἡμῖν, καὶ τὸν χορὸν ἐπαγόμενος πάρεστι, καὶ θεοὺς ἀπέφηνε, τὸν Πᾶνα, καὶ τὸν Σιληνὸν, καὶ Σατύρους, ἀγροίκους τινὰς, καὶ αἰπόλους τοὺς πολλοὺς, σκιρτητικοὺς ἀνθρώπους, καὶ τὰς μορφὰς ἀλλοκότους. [7] Ὧν ὁ μὲν, κέρατα ἔχων, καὶ ὅσον ἐξ ἡμισείας ἐς τὸ κάτω αἰγὶ ἐοικὼς, καὶ γένειον βαθὺ καθειμένος ὀλίγον τράγου διαφέρων ἐστὶν, [8] ὁ δὲ, φαλακρὸς γέρων, σιμὸς τὴν ῥῖνα, ἐπὶ ὄνου τὰ πολλὰ ὀχούμενος, Λυδὸς οὗτος· οἱ δὲ Σάτυροι, ὀξεῖς τὰ ὦτα, καὶ αὐτοὶ φαλακροὶ, κεράσται, οἷα τοῖς ἄρτι γεννηθεῖσιν ἐρίφοις τὰ κέρατα ὑποφύεται, Φρύγες τινὲς ὄντες· ἔχουσι δὲ καὶ οὐρὰς ἅπαντες. Ὁρᾶτε οἵους ἡμῖν θεοὺς ποιεῖ ὁ γεννάδας!

5. Εἶτα θαυμάζομεν, εἰ καταφρονοῦσιν ἡμῶν οἱ ἄνθρωποι, ὁρῶντες οὕτω γελοίους θεοὺς, καὶ τεραστίους; ἐῶ γὰρ λέγειν, ὅτι καὶ δύω γυναῖκας ἀνήγαγε, τὴν μὲν ἐρωμένην οὖσαν αὐτοῦ, τὴν [9] Ἀριάδνην, ἧς καὶ τὸν στέφανον ἐγκατέλεξε τῷ τῶν ἀστέρων χορῷ· [o] τὴν δὲ Ἰκα-

7 Ὧν ὁ μὲν, &c.] Pan; de quo, nec non iis, qui sequuntur, Vid. Natal. Com. lib. 5.

8 Ὁ δὲ φαλακρὸς, &c.] Τὸν Σιληνὸν λέγει. Scholiastes.

9 Τὴν Ἀριάδνην, &c.] De quâ Propertius Bacchum alloquens,

Te quoque enim non esse rudem testatur in astris
Lyncibus in cœlum vecta Ariadna tuis.

De coronâ autem ejus Vid. Ovid. Met. lib. 8. quin et meminit Hor. Carm. lib. 2, Od. 19.

o Τὴν δὲ Ἰκαρίου, &c.] Erigonem, quæ ex dolore paternæ necis, quem rustici inebriati occiderant, sibi necem conscivit, Deorumque miseratione in cœlum translata Virginis nomen obtinuit.

Vid.

ρίε τε γεωργε θυγατέρα· καὶ ὃ πάντων γελοιότατον, ὦ θεοὶ, καὶ τὴν κύνα τῆς Ἠριγόνης, καὶ τοῦτον ἀνήγαγεν, ὡς μὴ ἀνιῷτο ἡ παῖς, εἰ μὴ ἕξει ἐν τῷ ὀρανῷ τὸ ξύνηθες ἐκεῖνο, καὶ ὅπερ ἠγάπα κυνίδιον. Ταῦτα οὐχ ὕβρις ὑμῖν δοκεῖ, καὶ παροινία, καὶ γέλως; ἀκούσατε δ' οὖν καὶ ἄλλους.

6. ΖΕΥΣ. Μηδὲν, ὦ Μῶμε, εἴπῃς μήτε περὶ Ἀσκληπιοῦ, μήτε περὶ Ἡρακλέους· ὁρῶ γὰρ, οἷ φέρῃ τῷ λόγῳ· οὗτοι γὰρ, ὁ μὲν αὐτῶν ἰᾶται, καὶ ἀνίστησιν ἐκ τῶν νόσων, καὶ ἐστὶ

------πολλῶν ἀντάξιος ἄλλων·

ὁ δ' Ἡρακλῆς, υἱὸς ὢν ἐμὸς, οὐκ ὀλίγων πόνων ἐπρίατο τὴν ἀθανασίαν, ὥστε μὴ κατηγόρει αὐτῶν. ΜΩΜ. Σιωπήσομαι διὰ σὲ, ὦ Ζεῦ, πολλὰ εἰπεῖν ἔχων· καίτοι εἰ μηδὲν ἄλλο, ἔτι τὰ σημεῖα ἔχουσι τοῦ πυρός. Εἰ δὲ ἐξῆν καὶ πρὸς αὐτόν σε τῇ παῤῥησίᾳ χρῆσθαι, πολλὰ ἂν εἶχον εἰπεῖν. ΖΕΥΣ. Καὶ μὴν πρὸς ἐμὲ ἔξεστι μάλιστα. Μῶν δ' οὖν κἀμὲ ξενίας διώκεις; ΜΩΜ. [1] Ἐν Κρήτῃ μὲν οὐ μόνον τοῦτο ἀκοῦσαί ἐστιν, ἀλλὰ καὶ ἄλλό τι περὶ σοῦ λέγουσι, καὶ τάφον ἐπιδεικνύουσιν. Ἐγὼ δὲ οὔτε ἐκείνοις πείθομαι, [2] οὔτε Ἀχαιῶν Αἰγιεῦσιν, ὑποβολιμαῖόν σε εἶναι φάσκουσιν.

Vid. Hygin. et Apoll. lib. 3. De cane autem ejus mentionem facit Ov. Fast. lib. 5.

Nocte sequente diem canis Erigoneïus *exit*.

1 Ἐν Κρήτῃ μὲν, &c.] Unde Callimachus in Hymno suo in Jovem, v. 8.

2 Οὔτε Ἀχαιῶν Αἰγιεῦσιν] Ægium Achaiæ Oppidum.

7. Ἃ δὲ μάλιστα ἐλεγχθῆναι δεῖν ἡγοῦμαι, ταῦτα ἐρῶ. Τὴν γάρ τοι ἀρχὴν τῶν τοιούτων παρανομημάτων, καὶ τὴν αἰτίαν τοῦ νοθευθῆναι ἡμῶν τὸ ξυνέδριον, σὺ, ὦ Ζεῦ, παρέσχες, θνητοῖς ἐπιμιγνύμενος, καὶ κατιὼν παρ᾽ αὐτοὺς ἐν ἄλλοτε ἄλλῳ σχήματι· ὥστε ἡμᾶς δεδίεναι, μή σε καταθύσῃ τις ξυλλαβὼν, ὁπότ᾽ ἂν ταῦρος ἦς, ἂν τῶν χρυσοχόων τις κατεργάσηται χρυσὸν ὄντα, καὶ ἀντὶ Διὸς, ἢ ὅρμος, ἢ ψέλλιον, ἢ ἐλλόβιον ἡμῖν γένῃ· πλὴν ἀλλὰ ἐμπέπληκάς γε τὸν οὐρανὸν τῶν ἡμιθέων τούτων· οὐ γὰρ ἂν ἄλλως εἴποιμι. Καὶ τὸ πρᾶγμα γελοιότατόν ἐστιν, ὁπότ᾽ ἄν τις ἄφνω ἀκούσῃ, Ὅτι ὁ Ἡρακλῆς μὲν Θεὸς ἀπεδείχθη, ὁ δὲ Εὐρυσθεὺς, ὃς ἐπέταττεν αὐτῷ, τέθνηκε· [3] καὶ πλησίον Ἡρακλέους νεὼς, οἰκέτου ὄντος, καὶ Εὐρυσθέως τάφος, τοῦ δεσπότου αὐτοῦ. Καὶ πάλιν ἐν Θήβαις, Διόνυσος μὲν Θεός· οἱ δ᾽ ἀνέψιοι αὐτοῦ, ὁ Πενθεὺς, καὶ ὁ Ἀκταίων, καὶ ὁ Λέαρχος, ἀνθρώπων ἁπάντων κακοδαιμονέστατοι.

8. Ἀφ᾽ οὗ δὲ ἅπαξ σὺ, ὦ Ζεῦ, ἀνέῳξας τοῖς τοιούτοις τὰς θύρας, καὶ ἐπὶ τὰς θνητὰς ἐτράπου, ἅπαντες μιμίμηνταί σε, καὶ οὐχὶ ἄῤῥενες μόνον, ἀλλ᾽ ὅπερ αἴσχιστον, καὶ αἱ θήλειαι θεαί· [4] τίς γὰρ οὐκ οἶδε τὸν

3 Καὶ πλησίον, &c.] In Sicyoniâ templum Herculi fuit. Vid. Natal. Com. lib. 7. Eurystheus verò sepultus erat in Gargetto. Vid. Strab. Geogr. lib. 8.

4 Τίς γὰρ οὐκ οἶδε τὸν Ἀγχίσην, &c.] Allusum est ad Venerem, Auroram, Lunam, et Cererem, quæ cum his consuetudinem habuerunt.

Ἀγχίσην,

Ἀγχίστην, καὶ τὸν Τιθωνὸν, καὶ τὸν Ἐνδυμίωνα, καὶ τὸν Ἰασίωνα, καὶ τοὺς ἄλλους; ὥστε ταῦτα μὲν ἐάσειν μοι δοκῶ· μακρὸν γὰρ ἂν τὸ διελέγχειν γένοιτο. ΖΕΥΣ. Μηδὲν περὶ τοῦ Γανυμήδους, ὦ Μῶμε, εἴπῃς· χαλεπανῶ γὰρ, εἰ λυπήσεις τὸ μειράκιον, ὀνειδίσας ἐς τὸ γένος. ΜΩΜ. Οὐκοῦν μηδὲ περὶ τοῦ ἀετοῦ εἴπω, ὅτι καὶ οὗτος ἐν τῷ οὐρανῷ ἐστιν, ἐπὶ τοῦ βασιλείου σκήπτρου καθεζόμενος, καὶ μονονουχὶ ἐπὶ τὴν κεφαλὴν σοῦ νεοττεύων, Θεὸς εἶναι δοκῶν;

